ΕΚ ΤΩΝ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΚΑΙ ΘΕΟΦΡΑΣΤΟΥ.

ARISTOTELIS ET THEOPHRASTI

ſcripta quædam, quæ uel nunquam antea, uel minus emendata quàm nunc, edita fuerunt.



EX OFFICINA HENRICI
Stephani Pariſienſis typographi.
AN. M. D. LVII.

HENRICVS STEPHANVS Petro Victorio S. D.

EGO verò, mi Victori, etſi tales à te literas non expectabam, eam tamen qua in illis vſus es reprehēſionem, & acriorem etiā, meruiſſe me fateor. Ac ne putes parum te epiſtola tua profeciſſe, illa certè non ſolùm AEſchyli tui (in quo excudendo tarditatem & procraſtinationem meam grauiter accuſabas) ſed & aliorū quorundam Græcorū authorum editionē ita accelerauit, vt ego tibi, quem antea meus ille tam lentus & quaſi teſtudineus gradus male habebat, non dicā cucurriſſe, ſed volaſſe ab eo tempore videri poſſim. Ex illis autem omnibus libris (quos cum alia multa, tum vel nouitas ipſa commendare debet) hiſtoricos & philoſophicos, quibus te primū omniū munerarer, delegi. Quibus tu donis niſi placatus fueris, aut verbū illud vetus mendacii arguam, Muneribus placari hominéſque deóſq; (δῶρα θεοὺς πείθει, δῶρ' αἰδοίους βασιλῆας) aut te ex hominū pariter atque deorum numero eximendū eſſe cenſebo. Nam quin illa futura ſint tui ſtomachi, minimè mihi dubium eſt. Si tamen verum eſt quod dixit quidam poeta, quo quiſque ſit maior, illum eo magis eſſe placabilis iræ, ſpero fore vt generoſa iſta mens tua ὀξύθυμον te ſimul & βαρύθυμον eſſe nō patiatur: adeo vt ad te mihi placandum ne muneribus quidem vllis ſit opus: & quæ ad recōciliationem amicitiæ comparata dona fuerant, ad eius confirmationem potius valeant. Quæ ſi me ſpes fallat, hoc ſaltem futurum confido, vt ſiqua facta erat animi tui offenſiuncula, ad primū horum munerū aſpectum, des te ad lenitatem. Quare iam tecum vt cum planè mitigato agam: eáque à te petam quæ honeſtè amicus ab amico petere, amicus amico honeſtè denegare non poteſt: vt vel inde

etiam aut adhuc permanētis aut extinctæ veteris amicitiæ ſignum colligere poſſim certiſſimū. Quod enim à te exigam beneficiū, id eiuſmodi eſt in quod nullæ niſi temporis eiúſque breuiſſimi faciendæ ſint impenſæ. Sed iam illud quale ſit, ni fallor, geſtis intelligere. Audi igitur. Inter cætera Græca quæ ad te mitto volumina, vnū inuenies, quo, cū aliis libellis, etiā Theophraſti opuſculum περὶ αἰσθήσεως (quod & Diogenes Laertius inter eius ſcripta enumerat) cōtinetur: doctiſſimum mehercle & Theophraſto digniſſimum: ſed aliquot in locis non ſatis emendatū, & ἀτελεῖ τέλει, vt mihi quidem videtur, finitum. Ego, quum Florentiæ agens, in Medicea bibliotheca exēplar eius haberi intellexiſſem, ſæpe veſtrū Franciſcū Iambularium ei præfectum, vt mihi illius inſpiciēdi gratia ad eam pateret aditus, rogaui. Quod ipſe, vt opinor, mihi (fecerat enim antea videndorū in ea neſcio quot librorū copiam) ſi per aduerſam valetudinem licuiſſet, denegaturus nō erat. Quæ etiam multo diuturnior quàm ille putarat, & ſanè periculoſior fuit, nam eo ipſo morbo, vt ex amicorū literis accepi, aliquot pòſt menſibus interiit. vir lōgiori vita, & doctrinæ & vitæ integræ ergô (ſi tamē ita cælo viſū fuiſſet) digniſſimus. Quo igitur bono primùm eius morbus, deinde mors me priuauit, id per te, mi Victori, fac obſecro vt quamprimum recuperē. & quo præſens, vt ſperaueram, vti non potui, da operā vt abſens, nūc tandem vtar atque fruar. Nam ſi meā editionem cum illo exēplari cōtuleris, & locos eos qui mihi ſuſpecti ſunt, ex eo emendatos remiſeris, fuerit illud κτῆσις μὲν veſtrum, χρῆσις δὲ meum: imò verò non meum magis quàm tuum, & literatorum omnium: quibuſcū quæ à te accipiā, lubētiſſimè cōmunicabo. Quòd ſi fortè mihi etiā ἐξ ἐπιμέτρου aliquid gratificari volueris, amplā profectò cæteri libelli vnà cum

hoc excuſi præbebũt tibi materiã. Vix enim ex iis vllus eſt qui non veterũ exẽplarium auxiliũ deſideret: quorũ tibi nullũ,ſi modò diligentiã in conquirẽdo adhibere volueris,defuturũ certò ſcio. Equidẽ ſi eorum quãta tibi eſt,tãta mihi cõmoditas fuiſſet,quod inſtituerã,non vt nũc,inchoatum,ſed perfectũ & abſolutum dediſſem. Id autẽ erat, Ariſtotelis & Theophraſti quæcũque vel nũquã edita eſſent,vel caſtigatiora multo quàm antea edi poſſent, hoc volumine cõplecti opuſcula. Mirũ eſt verò extitiſſe vllos homines tam παχεῖς,vt,quũ Παχυμέρους paraphraſin in librũ Ariſtotelis περὶ ἀτόμων γραμμῶν haberẽt,ipſum ſe Ariſtotelis librum habere,omnino ſibi perſuaderent. Quàm multa enim vel in ipſo limine reperiũtur,ex quibus id à lectore etiã dormitãte deprehẽdi facilè poterat? quæ certè apud homines adeo παχεῖς, vti dixi, λεπτομερῶς explicare me pudeat. verbũ igitur hac de re nõ addam. Quod autẽ ad libellũ περὶ θαυμασίων ἀκουσμάτων attinet, is certè non nouus, ſed planè veterũ exemplarium opera renouatus in hac editione nunc prodit. In quibus quòd principium huius libelli reperitur aliud ab eo quod in prioribus editionibus habemus, id verò meã de libro illo (quã mox tibi exponã) nõ parũ adiuuare poteſt coniecturam. At de illis ex nouem Theophraſti libris ἐκλογαῖς quid dicemus? quid verò potius quàm optabile eſſe vt non ἐκλογὰς ex Theophraſti libris,ſed Theophraſti libros iure vocare poſſemus? Sed exime quæſo mihi hũc ſcrupulũ, Victori,ſi potes: quî fit vt eorũ multa quæ hîc ex duobus Theophraſti libris, ἐκ τοῦ περὶ κόπων & ἐκ τοῦ περὶ ἱδρώτων, excerpta habẽtur,inter Ariſtotelis problemata, totidẽ & iiſdem vbique ferè verbis relata inueniãtur? Hoc ſanè facit vt quod de hoc quoq; Ariſtotelico libro antea ſuſpicabar duntaxat,nũc omnino perſuaſum habere cœperim: eius

videlicet,qui ſoli Ariſtoteli tribuatur,problematum libri, vēdicare quidem ſibi partē aliquā Ariſtotelē, ſed eā fortaſſe minimā.Nec verò ex Ariſtotelis tantùm & Theophraſti,ſed ex quorunda præterea nequaquā cū illis cōparandorū ſcriptis conflatū illud volumē eſſe exiſtimo.Hic fit vt multa repetita,quædā & ter poſita, mutatis tantū aliquot verbis: multa lōgè maximā ſtyli differentiā inter ſe habēt͂ia:multa etiā ne mediocri quidē philoſopho,nedum ipſo Ariſtotele aut omniū eius diſcipulorum præſtantiſſimo Theophraſto, digna inueniantur. Hinc fit denique (quod te,opinor,nō latet) vt in manuſcriptis codicibus,iis quidē qui antiquitatē præ ſe ferāt, multa eorū quæ in vulgatis editionibus legūtur, deſiderem⁹: quæ autē illic extāt,alio ordine plerūque collocata reperiamus.Mea autem de Ariſtotelis περὶ θαυμασίων ἀκουσμάτων libro cōiectura,iis profectò quæ de problematū volumine perſuaſa mihi eſſe dixi,nō eſt abſimilis.Ariſtotelis enim librū illū eſſe non nego:(quo ore enim id negē, quum etiā à Sotione, cuius paucula quædā ad idem argumentum faciētia adiunxi, ex Ariſtotele citati, illic habeantur loci?) ſed totum librum,qualis quātúſque eſt, Ariſtotelicum eſſe, id ſanè pernego . Nec verò hoc duntaxat argumento niti velim, quòd aliud in manuſcriptis exēplaribus initiū,& magna in multis locis lectionū varietas reperiatur:ſed cū aliis,tum hiſce duobus potiſſimū:nimirū & quòd nōnulla etiā quæ multo poſt Ariſtotelis tēpora acciderūt,illic narrentur:& huiuſmodi ſit aliquot in locis ſartago loquēdi(vt loquutus eſt Perſius) quā tantū abeſt vt Ariſtoteli tribuere audeam, vt ne vlli quidē niſi planè impolito ſcriptori ea ſine piaculo tribui poſſe videatur . Sed ego de his quem magis idoneū quàm te conſtituerim iudicē?Deſinā igitur,& tuā, quumprimū tibi aliquid à grauioribus negotiis ſupererit otii,expectabo ſententiā. Vale.

Τὰ περιεχόμενα ἐν τούτῳ τῷ ἐγχειριδίῳ, ἐκ διαφόρων συγγραμμάτων συλλεχθέντα, ἐστὶ ταῦτα.

ΘΕΟΦΡΑΣΤΟΥ περὶ αἰσθήσεως.
Ἐκ τοῦ περὶ τῶν μεταβαλλόντων τὰς χρόας, Θεοφράστου.
Ἐκ τοῦ περὶ παραλύσεως.
Ἐκ τοῦ περὶ λειποψυχίας.
Ἐκ τοῦ περὶ ἰλίγγων.
Ἐκ τοῦ περὶ κόπων.
Ἐκ τοῦ περὶ τῶν ἀθρόον φαινομένων ζώων.
Ἐκ τοῦ περὶ τῶν λεγομένων ζώων φθονεῖν.
Ἐκ τοῦ περὶ ἱδρώτων.
Ἐκ τοῦ περὶ μελιττῶν.
Θεοφράστου ἠθικοὶ χαρακτῆρες.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ περὶ ἀτόμων γραμμῶν.
Ἐκ τοῦ περὶ ἀκουστῶν, Ἀριστοτέλους.
Ἀριστοτέλους περὶ θαυμασίων ἀκουσμάτων.

Ἐκ τοῦ περὶ μαθηματικῆς ΑΡΧΥΤΑ τοῦ Πυθαγορείου.

Ἐκ τῶν ΣΩΤΙΩΝΟΣ τῶν σποράδην περὶ ποταμῶν καὶ κρηνῶν καὶ λιμνῶν παραδοξολογουμένων.

ΠΕΡΙ τῆς τοῦ νείλου ἀναπληρώσεως διάφοροι δόξαι. ἀνωνύμου.

Ἐκ τοῦ β' τῶν τοῦ ΑΘΗΝΑΙΟΥ δειπνοσοφιστῶν βιβλίου, περὶ ὑδάτων ποτῶν καὶ κρηνῶν.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕρὶ αἰσθήσεως.

ΠΕΡΙ δ' αἰσθήσεως αἱ μὲν πολλαὶ καὶ καθόλου δόξαι, δύο εἰσίν· οἱ μὲν γὰρ τῷ ὁμοίῳ ποιοῦσιν, οἱ δὲ τῷ ἐναντίῳ· Παρμενίδης μὲν καὶ Ἐμπεδοκλῆς καὶ Πλάτων, τῷ ὁμοίῳ· οἱ δὲ περὶ Ἀναξαγόραν καὶ Ἡράκλειτον, τῷ ἐναντίῳ. τὸ δὲ πιθανὸν ἔλαβον, οἱ μὲν, ὅτι τῶν ἄλλων τε τὰ πλεῖστα τῇ ὁμοιότητι θεωρεῖται, καὶ ὅτι σύμφυτόν ἐστι πᾶσι τοῖς αἰσθητοῖς τὰ συγγενῆ γνωρίζειν. ἔπειθ' ὡς τὸ μὲν αἰσθάνεσθαι, τῇ ἀπορροίᾳ γίνεται, τὸ δ' ὅμοιον φέρεται πρὸς τὸ ὅμοιον. οἱ δὲ τὴν αἴσθησιν ὑπολαμβάνοντες ἐν ἀλλοιώσει γίνεσθαι, καὶ τὸ μὲν ὅμοιον ἀπαθὲς ὑπὸ τοῦ ὁμοίου, τὸ δ' ἐναντίον παθητικὸν, τούτῳ προσέθεσαν τὴν γνώμην. ἐπιμαρτυρεῖν οἴονται καὶ τὸ περὶ τὴν ἁφὴν συμβαῖνον. τὸ γὰρ ὁμοίως τῇ σαρκὶ θερμὸν ἢ ψυχρὸν, ποιεῖ αἴσθησιν. καθόλου μὲν οὖν περὶ αἰσθήσεως αὗται παραδίδονται δόξαι. περὶ ἑκάστης δὲ τῶν κατὰ μέρος, οἱ μὲν ἄλλοι σχεδὸν ἀπολείπουσιν, Ἐμπεδοκλῆς δὲ πειρᾶται καὶ ταύτας ἀνάγειν εἰς τὴν ὁμοιότητα. Παρμενίδης μὲν γὰρ ὅλως οὐδὲν ἀφώρικεν, ἀλλὰ μόνον ὅτι δυοῖν ὄντοιν στοιχείοιν, κατὰ τὸ ὑπερβάλλον ἐστὶν ἡ γνῶσις. ἐὰν γὰρ ὑπεραίρῃ τὸ θερμὸν ἢ τὸ ψυχρὸν, ἄλλην γίνεσθαι τὴν διάνοιαν· βελτίω δὲ καὶ καθαρωτέραν, τὴν διὰ τὸ θερμόν. οὐ μὴν ἀλλὰ καὶ ταύτην δεῖσθαί τινος συμμετρείας·

Ὡς γὰρ ἑκάστῳ (φησὶν) ἔχει κρᾶσις μελέων πολυπλάγκτων,
Τὼς νόος ἀνθρώποισι παρέστηκεν. τὸ γὰρ αὐτὸ
Ἐστὶν ὅπερ φρονέει μελέων φύσις ἀνθρώποισι,
Καὶ πᾶσιν καὶ παντί. τὸ γὰρ πλέον ἐστὶ νόημα.

τὸ γὰρ αἰσθάνεσθαι καὶ τὸ φρονεῖν, ὡς ταὐτὸ λέγει. διὸ καὶ τὴν μνήμην

καὶ τὴν λήθην ἀπὸ τούτων γίνεσθαι διὰ τῆς κράσεως. ἂν δ' ἰσάζωσι τῇ μίξει, πότερον ἔσται φρονεῖν, ἢ οὔ, καὶ τίς ἡ διάθεσις, οὐδὲν ἔτι διώρικεν. ὅτι δὲ καὶ τῷ ἐναντίῳ καθ' αὑτὸ ποιεῖ τὴν αἴσθησιν, φανερὸν ἐν οἷς φησι, τὸν νεκρὸν φωτὸς μὲν καὶ θερμοῦ καὶ φωνῆς οὐκ αἰσθάνεσθαι, διὰ τὴν ἔκλειψιν τοῦ πυρός, ψυχροῦ δὲ καὶ σιωπῆς καὶ τῶν ἐναντίων αἰσθάνεσθαι. καὶ ὅλως δὲ πᾶν τὸ ὂν ἔχειν τινὰ γνῶσιν. οὕτως μὲν οὖν αὐτὸς ἔοικεν ἀποτέμνεσθαι τῇ φάσει τὰ συμβαίνοντα δυσχερῆ διὰ τὴν ὑπόληψιν. Πλάτων δὲ ἐπιπλέον μὲν ἧπται τῶν κατὰ μέρος, οὐ μὴν εἴρηκέ γε περὶ ἁπασῶν, ἀλλὰ μόνον περὶ ἀκοῆς καὶ ὄψεως. καὶ τὴν μὲν ὄψιν ποιεῖ πυρός· διὸ καὶ τὸ χρῶμα, φλόγα εἶναι ἀπὸ τῶν σωμάτων, σύμμετρα μόρια τῇ ὄψει ἔχουσαν, ὡς ἀπορροῆς τε γινομένης, καὶ δέον οὖν ἁρμόττειν ἀλλήλοις, ἐξιοῦσαν μέχρι τινὸς, συμφύεσθαι τῇ ἀπορροῇ, καὶ οὕτως ὁρᾶν ἡμᾶς· ὥσπερ ἂν εἰς τὸ μέσον τιθεὶς τὴν ἑαυτοῦ δόξαν τῶν τε φασκόντων προσπίπτειν τὴν ὄψιν, καὶ τῶν φέρεσθαι πρὸς αὐτὴν ἀπὸ τῶν ὁρατῶν. ἀκοὴν δὲ διὰ τῆς φωνῆς ὁρίζεται. φωνὴν γὰρ εἶναι, πληγὴν ὑπ' ἀέρος, ἐγκεφάλου καὶ αἵματος δι' ὤτων, μέχρι ψυχῆς. τὴν δ' ἀπὸ ταύτης κίνησιν ἀπὸ κεφαλῆς μέχρι ἥπατος, ἀκοήν. περὶ δὲ ὀσφρήσεως καὶ γεύσεως καὶ ἀφῆς ὅλως οὐδὲν εἴρηκεν, οὐδὲ εἰ παρὰ ταύτας ἄλλαι τινές εἰσιν· ἀλλὰ μᾶλλον ἀκριβολογεῖται περὶ τῶν αἰσθητῶν.

Ἐμπεδοκλῆς δὲ περὶ ἁπασῶν ὁμοίως λέγει, καί φησι τῷ ἐναρμόττειν εἰς τοὺς πόρους τοὺς ἑκάστης αἰσθάνεσθαι· διὸ καὶ οὐ δύνασθαι τὰ ἀλλήλων κρίνειν, ὅτι τῶν μὲν, εὐρύτεροι, τῶν δὲ, στενότεροι τυγχάνουσιν οἱ πόροι πρὸς τὸ αἰσθητόν. ὡς τὰ μὲν οὐχ ἁπτόμενα διευτονεῖν, τὰ δ' ὅλως εἰσελθεῖν οὐ δύνασθαι. πειρᾶται δὲ καὶ τὴν ὄψιν λέγειν ποία τίς ἐστι. φησὶ γὰρ τὸ μὲν ἐντὸς αὐτῆς εἶναι πῦρ, τὸ δὲ περὶ αὐτὸ, γῆν καὶ ἀέρα· δι' ὧν διϊὸν λεπτὸν ὄν, καθάπερ τὸ ἐν τοῖς λαμπτῆρσι φῶς. τοὺς δὲ πόρους

ἐναλλὰξ κεῖσθαι τούς τε πυρὸς καὶ τοῦ ὕδατος· ὧν τοῖς μὲν τοῦ πυρός, τὰ λευκά, τοῖς δὲ τοῦ ὕδατος, τὰ μέλανα γνωρίζειν. ἐναρμόττειν γὰρ ἑκατέραις ἑκάτερα. φέρεσθαι δὲ τὰ χρώματα πρὸς τὴν ὄψιν, διὰ τὴν ἀπορροήν, συγκεῖσθαι δ' οὐχ ὁμοίως, τὰς δ' ἐκ τῶν ἀντικειμένων, καὶ ταῖς μὲν ἐν μέσῳ, ταῖς δ' ἐκτὸς εἶναι τὸ πῦρ. διὸ καὶ τῶν ζῴων, τὰ μὲν μεθ' ἡμέραν, τὰ δὲ νύκτωρ μᾶλλον ὀξυωπεῖν· ὅσα μὲν πυρὸς ἧττον ἔχει, μεθ' ἡμέραν (ἐπανισοῦσθαι γὰρ αὐτοῖς τὸ ἐντὸς φῶς ὑπὸ τοῦ ἐκτός) ὅσα δὲ τοῦ ἐναντίου, νύκτωρ. ἐπαναπληροῦσθαι γὰρ καὶ τούτοις τὸ ἐνδεές. ἐν δὲ τοῖς ἐναντίοις ἑκάτερον. ἀμβλυωπεῖν μὲν γάρ, καὶ οἷς ὑπερέχει τὸ πῦρ ἐπαυξηθὲν ἔτι μεθ' ἡμέραν ἐπιπλάττειν καὶ καταλαμβάνειν τοὺς τοῦ ὕδατος πόρους. οἷς δὲ τὸ ὕδωρ, ταὐτὸ τοῦτο γίνεσθαι νύκτωρ. καταλαμβάνεσθαι γὰρ τὸ πῦρ ὑπὸ τοῦ ὕδατος, ἕως ἂν τοῖς μὲν ὑπὸ τοῦ ἔξωθεν φωτὸς ἀποκριθῇ τὸ ὕδωρ, τοῖς δ' ὑπὸ τοῦ ἀέρος τὸ πῦρ. ἑκατέρων γὰρ ἴασιν εἶναι τὸ ἐναντίον. ἀρίστην δὲ κεκρᾶσθαι καὶ βελτίστην εἶναι τὴν ἐξ ἀμφοῖν ἴσων συγκειμένων. καὶ περὶ μὲν ὄψεως, σχεδὸν ταῦτα λέγει. τὴν δ' ἀκοήν, ἀπὸ τῶν ἔξωθεν γίνεσθαι ψόφων. ὅταν γὰρ ὑπὸ τῆς φωνῆς κινηθέν, ἠχεῖ ἐντός. ὥσπερ γὰρ εἶναι κώδωνα τῶν ἴσων ἤχων τὴν ἀκοήν, ἣν προσαγορεύει σάρκινον ὄζον. κινουμένην δὲ παίειν τὸν ἀέρα, πρὸς τὰ στερεά, καὶ ποιεῖν ἦχον. ὄσφρησιν δὲ γίνεσθαι τῇ ἀναπνοῇ· διὸ καὶ μάλιστα ὀσφραίνεσθαι τούτους οἷς σφοδροτάτη τοῦ ἄσθματος ἡ κίνησις. ὀσμὴν δὲ πλείστην ἀπὸ τῶν λεπτῶν καὶ τῶν κούφων ἀπορρεῖν. περὶ δὲ γεύσεως καὶ ἁφῆς οὐ διορίζεται καθ' ἑτέραν, οὔτε πῶς, οὔτε δι' ἃ γίγνονται· πλὴν τὸ κοινόν, ὅτι τὸ συναρμόττειν τοῖς πόροις, αἴσθησίς ἐστιν· ἥδεσθαι δὲ τοῖς ὁμοίοις κατά τε μόρια καὶ τὴν κρᾶσιν, λυπεῖσθαι δὲ τοῖς ἐναντίοις. ὡσαύτως δὲ λέγει καὶ περὶ φρονήσεως καὶ ἀγνοίας. τὸ μὲν γὰρ φρονεῖν, εἶναι τοῖς ὁμοίοις· τὸ δ' ἀγνοεῖν, τοῖς ἀνομοίοις. ὡς ἢ ταὐτὸν ἢ παραπλήσιον ὂν τῇ

αἰσθήσει τὴν φρόνησιν. διαριθμησάμενος γὰρ ὡς ἕκαστον ἑκά-
στῳ γνωρίζομεν, ἐπὶ τέλει προσέθηκεν ὡς ἐκ τούτων πάντα
πεπήγασιν ἁρμοσθέντα, καὶ τούτοις φρονέουσι καὶ ἥδοντ' καὶ
ἀνιῶνται. διὸ καὶ τῷ αἵματι μάλιστα φρονεῖν. ἐν τούτῳ γὰρ μά-
λιστα κεκρᾶσθαι τὰ στοιχεῖα τῶν μερῶν. ὅσοις μὲν οὖν ἴσα
καὶ παραπλήσια μέμικται, καὶ μὴ διὰ πολλοῦ, μηδ' αὖ μι-
κρά, μηδ' ὑπερβάλλοντα τῷ μεγέθει, τούτους φρονιμωτάτους
εἶναι καὶ κατὰ τὰς αἰσθήσεις ἀκριβεστάτους, κατὰ λόγον δέ, καὶ
τοὺς ἐγγυτάτω τούτων· ὅσοις δὲ ἐναντίως, ἀφρονεστάτους. καὶ ὧν
μὲν μανὰ καὶ ἀραιὰ κεῖται τὰ στοιχεῖα, νωθροὺς καὶ ἐπιπόνους·
ὧν δὲ πυκνὰ καὶ κατὰ μικρὰ τεθραυσμένα, τοὺς δὲ τοιούτους, ὀ-
ξεῖς καὶ φερομένους, καὶ πολλὰ ἐπιβαλλομένους, ὀλίγα ἐπιτελεῖν,
διὰ τὴν ὀξύτητα τῆς τοῦ αἵματος φορᾶς. οἷς δὲ καθ' ἕν τι μό-
ριον ἡ μέση κρᾶσίς ἐστι, ταύτῃ σοφοὺς ἑκάστους εἶναι. διὸ τοὺς
μὲν, ῥήτορας ἀγαθούς, τοὺς δὲ, τεχνίτας· ὡς τοῖς μὲν ἐν ταῖς
χερσί, τοῖς δὲ ἐν τῇ γλώσσῃ τὴν κρᾶσιν οὖσαν. ὁμοίως δ' ἔχειν καὶ
κατὰ τὰς ἄλλας δυνάμεις. Ἐμπεδοκλῆς μὲν οὖν οὕτως οἴεται
καὶ τὴν αἴσθησιν γίνεσθαι καὶ τὸ φρονεῖν. ἀπορήσειε δ' ἄν
ἐξ ὧν λέγει, πρῶτον μέν, τί διοίσει τὰ ἔμψυχα πρὸς τὸ αἰ-
σθάνεσθαι, τῶν ἄλλων. ἐναρμόττει γὰρ καὶ τοῖς τῶν ἀψύχων πό-
ροις. ὅλως γὰρ ποιεῖ τὴν μίξιν, τῇ συμμετρίᾳ τῶν πόρων. διό-
περ ἔλαιον μὲν καὶ ὕδωρ οὐ μίγνυσθαι, τὰ δὲ ἄλλα ὑγρά, καὶ
περὶ ὅσων δὴ καταριθμεῖται τὰς ἰδίας κράσεις. ὥστε πάντα
τε αἰσθήσεται, καὶ ταὐτὸ ἔσται μίξις καὶ αἴσθησις καὶ αὔξησις.
πάντα γὰρ ποιεῖ τῇ συμμετρίᾳ τῶν πόρων, ἐὰν μὴ προσθῇ
τινα διαφοράν. ἔπειτα ἐν αὐτοῖς τοῖς ἐμψύχοις, τί μᾶλλον αἰ-
σθήσεται, τὸ ἐν ζῴῳ πῦρ, ἢ τὸ ἐκτός, εἴπερ ἐναρμόττουσιν ἀλ-
λήλοις. ὑπάρχει γε καὶ ἡ συμμετρία καὶ τὸ ὅμοιον. ἔτι δὲ ἀ-
νάγκη διαφοράν τινα ἔχειν, εἴπερ αὐτὸ μὲν μὴ δύναται συμ-
πληροῦν τοὺς πόρους, τὸ δ' ἔξωθεν ἐπιόν. ὥστ' εἰ ὅμοιον ἦν

πάντη καὶ παντὸς ἂν εἴη αἴσθησις. ἔτι δὲ πότερον οἱ πόροι
κενοὶ ἢ πλήρεις. εἰ μὲν γὰρ κενοί, συμβαίνει διαφωνεῖν ἑαυτῷ.
φησὶ γὰρ ὅλως οὐκ εἶναι κενόν. εἰ δὲ πλήρεις, ἀεὶ ἂν αἰσθάνοιτο
τὰ ζῷα. δῆλον γὰρ ὡς ἐναρμόττει, καθάπερ φησί, τὸ ὅμοιον.
καίτοι κἂν αὐτὸ τοῦτό τις διαπορήσειεν, εἰ δυνατὸν δεῖ τηλι-
καῦτα μεγέθη γίνεσθαι τῶν ἐπιρροιῶν, ὥστ᾽ ἐναρμόττειν.
ἄλλως τε γὰρ συμβαίνει, καθάπερ φασί, τὰς ὄψεις ὧν σύμμε-
τρος ἡ κρᾶσις, ὁτὲ μὲν ὑπὸ τοῦ πυρός, ὁτὲ δὲ ὑπὸ τοῦ ἀέ-
ρος ἐμπλαττομένων τῶν πόρων, ἀμαυροῦσθαι. εἰ δ᾽ οὖν δεῖ καὶ
τούτων συμμετρία, καὶ πλήρεις οἱ πόροι τῶν μὴ συγγενῶν, πῶς
ὅταν αἰσθάνηται, καὶ ποῦ ταῦτα ὑπεξέρχεται. δεῖ γὰρ τινὰ ἀπο-
δοῦναι μεταβολήν. ὥστε πάντως ἔχει δυσκολίαν. ἢ γὰρ κενὸν
ἀνάγκη ποιεῖν, ἢ ἀεὶ τὰ ζῷα αἰσθάνεσθαι πάντων· ἢ τὸ μὴ συγ-
γενὲς ἁρμόττειν οὐ ποιοῦν αἴσθησιν, οὐδ᾽ ἔχον μεταβολὴν
οἰκείαν τοῖς ἐμποιοῦσιν. ἔτι δὲ εἰ καὶ μὴ ἐναρμόττοι τὸ ὅμοιον,
ἀλλὰ μόνον ἅπτοιτο καθ᾽ ὁπουοῦν, εὔλογον αἴσθησιν γίνεσθαι.
δυοῖν γὰρ τούτοιν ἀποδίδωσι τὴν γνῶσιν, τῷ τε ὁμοίῳ καὶ τῇ
ἁφῇ. διὸ καὶ τὸ ἁρμόττειν εἴρηκεν. ὥστ᾽ εἰ τὸ ἔλαττον ἅψαιτο τῶν
μειζόνων, εἴη ἂν αἴσθησις. ὅλως τε, κατά γε ἐκεῖνον, ἀφαι-
ρεῖται καὶ τὸ ὅμοιον. ἀλλὰ ἡ συμμετρία μόνον ἱκανόν. διὰ τοῦτο
γὰρ οὐκ αἰσθάνονται, φησίν, ἀλλήλων, ὅτι τοὺς πόρους ἀσυμμέ-
τρους ἔχουσιν. εἰ δ᾽ ὅμοιον ἢ ἀνόμοιον τὸ ἀπορρέον, οὐδὲν ἔτι
προσαφώρισεν: ὥστε ἢ οὐ τῷ ὁμοίῳ ἡ αἴσθησις, ἢ οὐ διά τινα
ἀσυμμετρίαν οὐ κρίνουσιν, ἁπάσας ἀνάγκη τὰς αἰσθήσεις καὶ
πάντα τὰ αἰσθητὰ τὴν αὐτὴν ἔχειν φύσιν. ἀλλὰ μὴν οὐ-
δὲ τὴν ἡδονὴν καὶ λύπην ὁμολογουμένως ἀποδίδωσιν, ἥδεσθαι
μὲν ποιῶν τοῖς ὁμοίοις, λυπεῖσθαι δὲ τοῖς ἐναντίοις. ἔχθεα γὰρ
εἶναι· διὸ πλεῖστον ἀπ᾽ ἀλλήλων διέχουσι γένει τε καὶ κράσει, καὶ
εἴδεσιν ἐκμακτοῖσιν. αἰσθήσεις γὰρ τινάς, ἢ μετ᾽ αἰσθήσεως
ποιοῦσι τὴν ἡδονὴν καὶ τὴν λύπην. ὥστε οὐχ ἅπασι γίνεται

τοῖς ὁμοίοις. ἔτι, εἰ τὰ συγγενῆ μάλιστα ποιεῖ τὴν ἡδονὴν ἐν
τῇ ἀφῇ, καθάπερ φησί, τὰ σύμφυτα μάλιστ' ἂν ἥδοιτο καὶ
ὅλως αἰσθάνοιτο. διὰ τῆς αὐτῆς γὰρ ποιεῖ τὴν αἴσθησιν καὶ τὴν
ἡδονήν. καίτοι πολλάκις αἰσθανόμενοι λυπούμεθα κατ' αὐ-
τὴν τὴν αἴσθησιν, ὡς Ἀναξαγόρας φησὶν ἀεί· πᾶσαν γὰρ αἴ-
σθησιν εἶναι μετὰ λύπης. ἔτι δ' ἐν ταῖς κατὰ μέρος. συμβαίνει
γὰρ τῷ ὁμοίῳ γίνεσθαι τὴν γνῶσιν. τὴν γὰρ ὄψιν ὅταν ἐκ πυ-
ρὸς καὶ τοῦ ἐναντίου συνεστήκῃ, τὸ μὲν λευκὸν καὶ τὸ μέλαν δύναιτ'
ἂν τοῖς ὁμοίοις γνωρίζειν· τὸ δὲ φαιὸν καὶ τἆλλα χρώματα τὰ
μικτὰ, πῶς; οὔτε γὰρ τοῖς τοῦ πυρὸς οὔτε τοῖς τοῦ ὕδατος πό-
ροις· οὔτ' ἄλλοις ποιεῖ κοινοῖς ἐξ ἀμφοῖν. ὁρῶμεν δ' οὐδὲν ἧτ-
τον ταῦτα τῶν ἁπλῶν. ἀτόπως δὲ, καὶ ὅτι τὰ μὲν ἡμέρας, τὰ
δὲ νύκτωρ μᾶλλον ὁρᾷ. τὸ γὰρ ἔλαττον πῦρ, ὑπὸ τοῦ πλείονος
φθείρεται. διὸ καὶ πρὸς τὸν ἥλιον καὶ ὅλως τὸ καθαρὸν οὐ
δύναται αὐτὸ ἀντιβλέπειν. ὥστε ὅσοις ἐνδεέστερον τὸ φῶς, ἧττον
ἐχρῆν ὁρᾶν μεθ' ἡμέραν. ἤ, εἴπερ τὸ ὅμοιον συναύξει, καθά-
περ φησί, τὸ δὲ ἐναντίον, φθείρει καὶ κωλύει· τὰ μὲν λευκὰ,
μᾶλλον ἐχρῆν ὁρᾶν ἅπαντας μεθ' ἡμέραν, καὶ ὅσοις ἔλαττον καὶ
ὅσοις πλεῖον τὸ φῶς· τὰ δὲ μέλανα, νύκτωρ. νῦν δὲ πάντες
ἅπαντα μεθ' ἡμέραν μᾶλλον ὁρῶσι, πλὴν ὀλίγων ζῴων. τού-
τοις δ' εὔλογον τοῦτ' ἰσχύειν τὸ οἰκεῖον πῦρ, ὥσπερ ἔνια καὶ τῇ
χροιᾷ διαλάμπει μᾶλλον τῆς νυκτός. ἔτι δ' οἷς ἡ κρᾶσις ἐξ
ἴσων, ἀνάγκη συναύξεσθαι κατὰ μέρος ἑκάτερον. ὥστ' εἰ
πλεονάζον κωλύει θάτερον ὁρᾶν, ἁπάντων ἂν εἴη παραπλη-
σία πως ἡ διάθεσις. ἀλλὰ τὰ μὲν τῆς ὄψεως πάθη χαλεπώ-
τερον ἐστὶ διελεῖν, τὰ δὲ περὶ τὰς ἄλλας αἰσθήσεις πῶς κρι-
νοῦμεν τῷ ὁμοίῳ; τὸ γὰρ ὅμοιον, ἀόριστον. οὔτε γὰρ ψόφῳ τὸν
ψόφον, οὔτ' ὀσμῇ τὴν ὀσμήν, οὔτε τοῖς ἄλλοις τοῖς ὁμογενέσιν ἔ-
σται, ἀλλὰ μᾶλλον, ὡς εἰπεῖν, τοῖς ἐναντίοις. ἀπαθῆ γὰρ δεῖ τὴν
αἴσθησιν προσάγειν. ἦχον δ' ἐνόντος ἐν ὠσίν, ἢ χυλῶν ἐν γεύ-

σι, καὶ ὀσμῆς ἐν ὀσφρήσει, κωφότεραι πᾶσαι γίνονται μᾶλλον ὅσῳ ἂν πλήρεις ὦσι τῶν ὁμοίων. εἰ μή τις λεχθείη περὶ τούτων διορισμός. ἔτι δὲ τὸ περὶ τὴν ἀπόρροιαν, καίπερ οὐχ ἱκανῶς λεγόμενον, περὶ μὲν τὰς ἄλλας ὅμως ἐπί πως ὑπολαβεῖν, περὶ δὲ τὴν ἁφὴν καὶ γεῦσιν, οὐ ῥᾴδιον. πῶς γὰρ τῇ ἀποῤῥοῇ κρίνομεν, ἢ πῶς ἐναρμόττειν τοῖς πόροις τὸ τραχὺ καὶ τὸ λεῖον; μόνου γὰρ δοκεῖ τῶν στοιχείων τοῦ πυρὸς ἀπορρεῖν, ἀπὸ δὲ τῶν ἄλλων οὐδενός. ἔτι δ' εἰ ἡ φθίσις διὰ τὴν ἀπόρροιαν, ὥσπερ χρῆται κοινοτάτῳ σημείῳ, συμβαίνει καὶ τὰς ὀσμὰς ἀπορροῇ γίνεσθαι, τὰ πλείστην ἔχοντα ὀσμὴν, τάχιστ' ἐχρῆν φθείρεσθαι. νῦν δὲ σχεδὸν ἐναντίως ἔχει. τὰ γὰρ ὀσμωδέστατα τῶν φυτῶν καὶ τῶν ἄλλων ἐστὶ χρονιώτατα. συμβαίνει δὲ καὶ ἐπὶ τῆς φιλίας ὅλως μὴ εἶναι αἴσθησιν, ἢ ἧττον, διὰ τὸ συγκρίνεσθαι τότε καὶ μὴ ἀπορρεῖν. ἀλλὰ περὶ μὲν τὴν ἀκοὴν ὅταν ἀποδῷ τοῖς ἔσωθεν γίνεσθαι ψόφοις, ἄτοπον τὸ οἴεσθαι δῆλον εἶναι πως ἀκούουσιν ἔνδον ποιήσαντα ψόφον, ὥσπερ κώδωνας. τῶν μὲν γὰρ ἔξω, δι' ἐκεῖνα ἀκούομεν, ἐκείνου δὲ ψοφοῦντος διὰ τί; τὸ γὰρ αὐτὸ λείπεται ζητεῖν. ἀτόπως δὲ καὶ τὰ περὶ τὴν ὄσφρησιν εἴρηκε, πρῶτον μὲν γὰρ οὐ κοινὴν αἰτίαν ἀπέδωκεν. ἔνια μὲν γὰρ ὅλως οὐδ' ἀναπνεῖ τῶν ὀσφραινομένων. ἔπειτα τὸ μάλιστα ὀσφραίνεσθαι τοὺς πλεῖστα ἐπισπωμένους, εὔηθες. οὐδὲν γὰρ ὄφελος, μὴ ὑγιαινούσης ἢ μὴ ἀνεῳγμένης πως τῆς αἰσθήσεως. πολλοῖς δὲ συμβαίνει πεπηρῶσθαι, καὶ ὅλως μηδὲν αἰσθάνεσθαι. πρὸς δὲ τούτοις, οἱ δύσπνοοι καὶ οἱ πονοῦντες καὶ οἱ καθεύδοντες ὀσμῷντο μᾶλλον· πλεῖστον γὰρ ἕλκουσιν ἀέρα. νῦν δὲ συμβαίνει τοὐναντίον. οὐ γὰρ ἴσως καθ' αὑτὸ τὸ ἀναπνεῖν αἴτιον τῆς ὀσφρήσεως, ἀλλὰ κατὰ συμβεβηκὸς, ὡς ἔκ τε τῶν ἄλλων ζώων μαρτυρεῖται, καὶ διὰ τῶν εἰρημένων παθῶν. ὁ δ' ὡς τούτου οὔσης τῆς αἰτίας, καὶ ἐπὶ τέλει πάλιν εἴρηκεν, ὥσπερ ἐπισημαινόμενος, Ὧδε μὲν οὖν πνοιῆς τε λελόγχασι πάντα καὶ ὀσμῶν.

εὔηθες δὲ

τὸ μάλιστα ὀσφραίνεσθαι τῶν κούφων. ἀλλὰ δὴ καὶ ὀσμὴν συνυπάρχειν. ὁ γὰρ ἀὴρ καὶ τὸ πῦρ, κουφότατα μὲν, οὐ ποιοῦσι δ' αἴσθησιν ὀσμῆς. ὡσαύτως δ' ἄν τις καὶ περὶ τὴν φρόνησιν ἀπορήσειεν. εἰ γὰρ τῶν αὐτῶν ποιεῖ καὶ τὴν αἴσθησιν, καὶ γὰρ ἅπαντα μεθέξει τοῦ φρονεῖν. καὶ ἅμα πῶς ἐνδέχεται, καὶ ἐν ἀλλοιώσει καὶ ὑπὸ τοῦ ὁμοίου γίνεσθαι τὸ φρονεῖν; τὸ γὰρ ὅμοιον οὐκ ἀλλοιοῦται τῷ ὁμοίῳ. τὸ δὲ δὴ τῷ αἵματι φρονεῖν, καὶ παντελῶς ἄτοπον. πολλὰ γὰρ τῶν ζῴων ἄναιμα. τῶν δὲ ἐναίμων, τὰ περὶ τὰς αἰσθήσεις ἀναιμότατα τῶν μορίων. ἔτι καὶ ὀστοῦν καὶ θρὶξ αἰσθάνοιτ' ἄν. ἐπεὶ οὖν ἐξ ἁπάντων ἐστὶ τῶν στοιχείων, καὶ συμβαίνει ταὐτὸν εἶναι τὸ φρονεῖν καὶ αἰσθάνεσθαι, καὶ ἥδεσθαι καὶ λυπεῖσθαι, καὶ τὸ ἀγνοεῖν. ἄμφω γὰρ ποιεῖ τοῖς ἀνομοίοις. ὥσθ' ἅμα τῷ μὲν ἀγνοεῖν, ἔδει γίνεσθαι λύπην. τῷ δὲ φρονεῖν, ἡδονήν. ἄτοπον δὲ καὶ τὸ τὰς δυνάμεις ἑκάστοις ἐγγίνεσθαι διὰ τὴν ἐν τοῖς μορίοις τοῦ αἵματος σύγκρασιν, ὥσπερ τὴν γλῶτταν, αἰτίαν τοῦ εὖ λέγειν, τὰς χεῖρας τοῦ δημιουργεῖν, ἀλλ' οὐκ ὀργάνου τάξιν ἔχοντα. διὸ καὶ μᾶλλον ἄν τις ἀποδοίη τῇ μορφῇ τὴν αἰτίαν ἢ τῇ κράσει τοῦ αἵματος, ἃ χωρὶς διανοίας ἐστίν. οὕτως γὰρ ἔχει καὶ ἐπὶ τῶν ἄλλων ζῴων. Ἐμπεδοκλῆς μὲν οὖν ἔοικεν ἐν πολλοῖς διαμαρτάνειν.

τῶν δὲ μὴ τῷ ὁμοίῳ ποιούντων τὴν αἴσθησιν, Ἀλκμαίων μὲν πρῶτον ἀφορίζει τὴν πρὸς τὰ ζῷα διαφοράν. ἄνθρωπον γάρ φησι τῶν ἄλλων διαφέρειν, ὅτι μόνον ξυνίησι. τὰ δ' ἄλλα, αἰσθάνεται μὲν, οὐ ξυνίησι δέ. ὡς ἕτερον ὂν τὸ φρονεῖν καὶ αἰσθάνεσθαι, καὶ οὐ, καθάπερ Ἐμπεδοκλῆς, ταὐτόν. ἔπειτα περὶ ἑκάστης λέγει. ἀκούειν μὲν οὖν φησὶ τοῖς ὠσὶν, διότι κενὸν ἐν αὐτοῖς ἐνυπάρχει. τοῦτο γὰρ ἠχεῖν. φθέγγεσθαι δὲ τῷ κοίλῳ τὸν ἀέρα δ' ἀντηχεῖν. ὀσφραίνεσθαι δὲ ῥισὶν, ἅμα τῷ ἀναπνεῖν, ἀνάγοντα τὸ πνεῦμα πρὸς τὸν ἐγκέφαλον. γλώττῃ δὲ τοὺς χυμοὺς κρίνειν. χλιαρὰν γὰρ οὖσαν καὶ μαλακὴν, τήκειν τῇ θερμότητι. δέχεσθαι δὲ καὶ διδόναι διὰ τὴν μανότητα καὶ

ἁπαλότητος. ὀφθαλμοὺς δὲ ὁρᾶν, διὰ τοῦ πέριξ ὕδατος. ὅτι δ' ἔχει πῦρ, δῆλον εἶναι· πληγέντος γὰρ ἐκλάμπειν. ὁρᾶν δὲ τῷ στίλβοντι καὶ τῷ διαφανεῖ, ὅταν ἀντιφαίνῃ· καὶ ὅσον ἂν καθαρώτερον ᾖ, μᾶλλον. ἁπάσας δὲ τὰς αἰσθήσεις συνηρτῆσθαί πως πρὸς τὸν ἐγκέφαλον. διὸ καὶ πληροῦσθαι κινουμένου καὶ μεταλλάττοντος τὴν χώραν. ἐπιλαμβάνειν γὰρ τοὺς πόρους δι' ὧν αἱ αἰσθήσεις. περὶ δὲ ἁφῆς οὐκ εἴρηκεν, οὔτε πῶς, οὔτε τίνι γίνεται. Ἀλκμαίων μὲν οὖν ἐπὶ τοσοῦτον ἀφώρικεν. Ἀναξαγόρας δὲ γίνεσθαι μὲν τοῖς ἐναντίοις· τὸ γὰρ ὅμοιον, ἀπαθὲς ὑπὸ τοῦ ὁμοίου· καθ' ἑκάστην δὲ ἰδίᾳ πειρᾶται διαριθμεῖν. ὁρᾶν μὲν γὰρ τῇ ἐμφάσει τῆς κόρης. οὐκ ἐμφαίνεσθαι δὲ εἰς τὸ ὁμόχρουν, ἀλλ' εἰς τὸ διάφορον. καὶ τοῖς μὲν πολλοῖς, μεθ' ἡμέραν, ἐνίοις δὲ νύκτωρ εἶναι τὸ ἀλλόχρουν, διὸ ὀξυωπεῖν δέ. ἁπλῶς δὲ τὴν νύκτα, μᾶλλον ὁμόχρουν εἶναι τοῖς ὀφθαλμοῖς. ἐμφαίνεσθαι δὲ μεθ' ἡμέραν, ὅτι τὸ φῶς συναίτιον τῆς ἐπιφάσεως. τὴν δὲ χρόαν τὴν κρατοῦσαν μᾶλλον εἰς τὴν ἑτέραν ἐμφαίνεσθαι. εἰς τὸν αὐτὸν δὲ τρόπον καὶ τὴν ἁφὴν καὶ τὴν γεῦσιν κρίνειν. τὸ γὰρ ὁμοίως θερμὸν καὶ ψυχρόν, οὔτε θερμαίνειν, οὔτε ψύχειν πλησιάζον. οὐδὲ δὴ τὸ γλυκὺ καὶ τὸ ὀξὺ δι' αὐτῶν γνωρίζειν, ἀλλὰ τῷ μὲν θερμῷ τὸ ψυχρόν, τῷ δ' ἁλμυρῷ τὸ πότιμον, τῷ δ' ὀξεῖ τὸ γλυκύ, κατὰ τὴν ἔλλειψιν τὴν ἑκάστου. πάντα γὰρ ἐνυπάρχειν φησὶν ἐν ἡμῖν. ὡσαύτως δὲ καὶ ὀσφραίνεσθαι καὶ ἀκούειν, τὸ μὲν, ἅμα τῇ ἀναπνοῇ· τὸ δέ, τῷ διικνεῖσθαι τὸν ψόφον ἄχρι τοῦ ἐγκεφάλου. τὸ γὰρ περιέχον ὀστοῦν εἶναι κοῖλον, εἰς ὃ ἐμπίπτειν τὸν ψόφον. ἅπασαν δ' αἴσθησιν, μετὰ λύπης. ὅπερ ἂν δόξειεν ἀκόλουθον εἶναι τῇ ὑποθέσει. πᾶν γὰρ τὸ ἀνόμοιον ἁπτόμενον πόνον παρέχει. φανερὸν δὲ τοῦτο τῷ τε τοῦ ὕπνου πλήθει καὶ τῇ τῶν αἰσθητῶν ὑπερβολῇ. τά τε γὰρ λαμπρὰ χρώματα καὶ τοὺς ὑπερβάλλοντας ψόφους λύπην ἐμποιεῖν, καὶ οὐ πολὺν χρόνον δύνασθαι τοῖς αὐτοῖς ἐπιμένειν. αἰσθητικώτερα δὲ τὰ μείζω

ζῷα, καὶ ἁπλῶς εἶναι κατὰ τὸ μέγεθος τὴν αἴσθησιν. ὅσα μὲν γὰρ μεγάλους καὶ καθαροὺς καὶ λαμπροὺς ὀφθαλμοὺς ἔχει, μεγάλα τε καὶ πόρρωθεν ὁρᾶν· ὅσα δὲ μικρούς, ἐναντίως. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἀκοῆς. τὰ μὲν γὰρ μεγάλα, τῶν μεγάλων καὶ τῶν πόρρωθεν ἀκούειν· τὰ δ' ἐλάττω, λανθάνειν· τὰ δὲ μικρά, τῶν μικρῶν καὶ τῶν ἐγγύς. καὶ ἐπὶ τῆς ὀσφρήσεως, ὁμοίως. ὄζειν μὲν γὰρ μᾶλλον τὸν λεπτὸν ἀέρα. θερμαινόμενον μὲν γὰρ καὶ μανούμενον, ὄζειν. ἀναπνέον δὲ τὸ μὲν μέγα ζῷον, ἅμα τῷ μανῷ καὶ τὸ πυκνὸν ἕλκειν· τὸ δὲ μικρόν, αὐτὸ τὸ μανόν. διὸ καὶ τὰ μεγάλα μᾶλλον αἰσθάνεσθαι. καὶ γὰρ τὴν ὀσμὴν ἐγγὺς εἶναι μᾶλλον ἢ πόρρω, διὰ τὸ πυκνοτέραν εἶναι· σκεδαννυμένην δέ, ἀσθενῆ. σχεδὸν δέ, ὡς εἰπεῖν, οὐκ αἰσθάνεσθαι τὰ μὲν μεγάλα, τῆς λεπτῆς ἀέρος, τὰ δὲ μικρά, τῆς πυκνῆς. τὸ μὲν οὖν τοῖς ἐναντίοις ποιεῖν τὴν αἴσθησιν, ἔχει τινὰ λόγον, ὥσπερ ἐλέχθη. δοκεῖ γὰρ ἡ ἀλλοίωσις οὐχ ὑπὸ τῶν ὁμοίων ἀλλ' ὑπὸ τῶν ἐναντίων εἶναι. καίτοι καὶ τοῦτο δεῖται πίστεως. ἡ ἀλλοίωσις, ἡ αἴσθησις. οὔτε τὸ ἐναντίον τῷ ἐναντίῳ κριτικόν. τὸ δὲ μετὰ λύπης ἅπασαν εἶναι, ψεῦδος. οὔτ' ἐκ τῆς κρίσεως ὁμολογεῖται. τὰ μὲν μεθ' ἡδονῆς, τὰ δὲ πλεῖστα ἄνευ λύπης ἐστὶν· οὔτ' ἐκ τῶν λόγων. ἡ μὲν γὰρ αἴσθησις κατὰ φύσιν, οὐδὲν δὲ τῷ φύσει βίᾳ καὶ μετὰ λύπης, ἀλλὰ μᾶλλον μεθ' ἡδονῆς. ὅπερ καὶ φαίνεται συμβαῖνον. τὰ γὰρ πλείω καὶ πλεονάκις ἡδόμεθα. καὶ αὐτοὶ δὲ τὸ αἰσθάνεσθαι χωρὶς τῆς περὶ ἕκαστον ἐπιθυμίας διώκομεν. ἔτι δ', ἐπεὶ καὶ ἡδονὴ καὶ λύπη γίνεται διὰ τῆς αἰσθήσεως, ἅπαν δὲ φύσει πρὸς τὸ βέλτιόν ἐστι, καθάπερ ἡ ἐπιστήμη, μᾶλλον ἂν εἴη μεθ' ἡδονῆς, ἢ μετὰ λύπης. ἁπλῶς δ' εἴπερ μηδὲ τὸ διανοεῖσθαι μετὰ λύπης, οὐδὲ τὸ αἰσθάνεσθαι. τὸν αὐτὸν γὰρ ἔχει λόγον ἑκάτερον πρὸς τὴν αὑτοῦ χρείαν. ἀλλὰ μὴν οὐδὲ αἱ τῶν αἰσθητῶν ὑπερβολαὶ καὶ τὸ τοῦ χρόνου πλῆθος, οὐδὲν σημεῖον ὡς μετὰ λύπης ἐστίν, ἀλλὰ μᾶλλον ὡς ἐν συμμετρίᾳ τινὶ καὶ κράσει πρὸς τὸ αἰσθητὸν ἡ αἴσθησις. διόπερ

ἴσως, τὸ μὲν ἐλλεῖπον, ἀναίσθητον, τὸ δ' ὑπερβάλλον, λύπην τε ποιεῖ καὶ φθείρει. συμβαίνει δὲ τοῦτο τὸ κατὰ φύσιν ἐκ τοῦ παρὰ φύσιν σκοπεῖν. ἡ γὰρ ὑπερβολὴ, παρὰ φύσιν. ἐπεί γ' ἀπ' ἐνίων δὲ ὅτι λυπεῖσθαι, καθάπερ καὶ ἥδεσθαι, φανερὸν καὶ ὁμολογούμενον. ὥστ' οὐδὲν μᾶλλον, διά γε τοῦτο, μετὰ λύπης ἢ μεθ' ἡδονῆς ἐστιν. ἀλλ' ἴσως μετ' οὐδετέρου, κατά γε τὸ ἀληθές. οὐδὲ γὰρ ἂν δύναιτο κρίνειν. ὥσπερ οὐδὲ ἡ διάνοια συνεχῶς οὖσα μετὰ λύπης ἢ ἡδονῆς. ἀλλὰ τοῦτο μὲν ἀπὸ μικρᾶς ἀρχῆς ἐφ' ὅλην μετήνεγκε τὴν αἴσθησιν. ὅταν δὲ λέγῃ τὰ μείζω μᾶλλον αἰσθάνεσθαι, καὶ ἁπλῶς κατὰ τὸ μέγεθος τῶν αἰσθητηρίων εἶναι τὴν αἴσθησιν, τὸ μὲν αὐτῶν ἔχει τινὰ ἀπορίαν· οἷον, πότερον τὰ μικρὰ μᾶλλον ἢ τὰ μεγάλα τῶν ζώων αἰσθητικά. δόξειε γὰρ ἂν ἀκριβεστέρας αἰσθήσεως εἶναι τὰ μικρὰ, μὴ λανθάνειν. καὶ ἅμα τὰ ἐλάττω δυνάμενον, καὶ τὰ μείζω κρίνειν ἐκ λόγου. ἅμα δὲ καὶ δοκεῖ περὶ ἐνίας αἰσθήσεις βέλτιον ἔχειν τὰ μικρὰ τῶν μεγάλων. ὥστε ταύτῃ μὲν χείρων ἡ τῶν μειζόνων αἴσθησις. εἰσὶ δ' αὖ φαίνεται καὶ πολλὰ λανθάνειν τὰ μικρὰ τῶν μειζόνων, ὅτι οἱ ψόφοι, χρώματα, βελτίων ἢ τῶν μειζόνων. ἅμα δὲ καὶ εὔλογον, ὥσπερ καὶ τὴν ὅλην τοῦ σώματος κρᾶσιν, ὁμοίως ἔχειν καὶ τὰς περὶ τὰς αἰσθήσεις. τοῦτο μὲν οὖν ὥσπερ ἐλέχθη, διαπορήσειεν ἄν τις εἰ ἄρα δεῖ λέγειν οὕτως. οὐ γὰρ ἐν τοῖς ὁμοίοις φύσεσιν ἀφώρισται κατὰ τὸ μέγεθος. ἀλλὰ κυριώτατα ἴσως ἡ τοῦ σώματος διάθεσίς τε καὶ κρᾶσις. τὸ δὲ πρὸς τὰ μεγέθη τῶν συμμέτρων ἀποδιδόναι τῶν αἰσθητῶν, ἔοικεν ὁμοίως λέγειν Ἐμπεδοκλεῖ. τὸ γὰρ ἐναρμόττειν τοῖς πόροις, ποιεῖ τὴν αἴσθησιν. πλὴν ἐπὶ τῆς ὀσφρήσεως ἴδιον συμβαίνει δυσχερές. ὄζειν μὲν γάρ φησι τὸν λεπτὸν ἀέρα μᾶλλον, ὀσφραίνεσθαι δὲ ἀκριβέστερον ὅσα τὸν πυκνὸν ἢ τὸν μικτὸν ἕλκει. περὶ δὲ τῆς ἐμφάσεως κοινή τις ἐστὶν ἡ δόξα· σχεδὸν γὰρ οἱ πολλοὶ τὸ ὁρᾶν οὕτως ὑπολαμβάνουσι, διὰ τὴν γινομένην ἐν τοῖς ὀφθαλμοῖς

ἔμφασιν. τοῦτο δ' οὐκ ἔτι συνεῖδον, ὡς οὔτε τὰ μεγέθη σύμμετρα τὰ ὁρώμενα τοῖς ἐμφαινομένοις, οὔτε ἐμφαίνεσθαι πολλὰ ἅμα καὶ τἀναντία δυνατόν· ἔτι δὲ, κίνησις, καὶ διάστημα, καὶ μέγεθος, ὁρατὰ μὲν, ἔμφασιν δ' οὐ ποιοῦσιν. ἐνίοις δὲ τῶν ζῴων οὐδὲν φαίνεται, καθάπερ τοῖς σκληροφθάλμοις καὶ τοῖς ἐνύδροις. ἔτι δὲ καὶ τῶν ἀψύχων διὰ γε τοῦτο, πολλὰ ἂν ὁρῷεν. καὶ γὰρ ἐν ὕδατι καὶ χαλκῷ καὶ ἑτέροις πολλοῖς ἐστιν ἀνάκλασις. φησὶ δὲ καὶ αὐτὸς ἐμφαίνεσθαι μὲν εἰς ἄλληλα χρώματα, μᾶλλον δὲ τοῖς ἰσχυρὸν εἰς τὸ ἀσθενές. ὥστε ἑκάτερον μὲν ἐχεῖν ὁρᾶν, μᾶλλον δὲ μέλαν, καὶ ὅλως ἀσθενέστερον. διὸ καὶ τὴν ὄψιν ὁμόχρων ποιεῖ τῇ νυκτί, καὶ τὸ φῶς, αἴτιον τῆς ἐμφάσεως. καίτοι πρῶτον μὲν τὸ φῶς ὁρῶμεν αὐτὸ δι' οὐδεμιᾶς ἐμφάσεως· ἔπειτα οὐδὲν ἧττον τὰ μέλανα τῶν λευκῶν οὐκ ἔχει φῶς. ἔτι δ' ἔγ' ἐν τοῖς ἄλλοις ἀεὶ τὴν ἔμφασιν ὁρῶμεν εἰς τὸ λαμπρότερον καὶ καθαρώτερον γινομένην. ὥσπερ καὶ αὐτὸς λέγει τοὺς ὑμένας τῶν ὀμμάτων λεπτοὺς εἶναι καὶ λαμπρούς. εἰκάζουσι δὲ καὶ τὴν ὄψιν αὐτὴν οἱ πολλοὶ πυρὸς ταύτης τῆς χρόας μετεχούσι μᾶλλον. Ἀναξαγόρας μὲν οὖν, ὥσπερ ἐλέχθη, κοινήν τινα ταύτην καὶ παλαιὰν δόξαν ἀναφέρει. πλὴν ἴδιον ἐπὶ πάσαις λέγει τῇ αἰσθήσει, καὶ μάλιστα ἐπὶ τῇ ὄψει, διότι τὸ μὲν αἰσθανόμενόν ἐστιν, οὐ δηλοῖ δὲ τὰς σωματικὰς αἰσθήσεις. Κλείδημος δὲ μόνος ἰδίως εἴρηκε περὶ τῆς ὄψεως. αἰσθάνεσθαι γάρ φησι τοῖς ὀφθαλμοῖς μόνον, ὅτι διαφανεῖς· ταῖς δ' ἀκοαῖς, ὅτι ἐμπίπτων ὁ ἀὴρ κινεῖ· τῇ δὲ ῥισίν, ἐφελκόμενος τὸν ἀέρα. τούτῳ γὰρ ἀναμίγνυσθαι. τῇ δὲ γλώσσῃ, τοὺς χυμούς, καὶ τὸ θερμὸν καὶ τὸ ψυχρόν, διὰ τὸ σομφὴν εἶναι. τῷ δὲ ἄλλῳ σώματι, παρὰ μὲν ταῦθ' οὐθέν. αὐτῶν δὲ τούτων καὶ τὸ θερμὸν, καὶ τὰ ὑγρὰ, καὶ τὰ ἐναντία, μόνας δὲ τὰς ἀκοὰς, αὐτὰς μὲν οὐδὲν κρίνειν, εἰς δὲ τὸν νοῦν διαπέμπειν. οὐχ ὥσπερ Ἀναξαγόρας ἀρχὴν ποιεῖ πάντων τὸν νοῦν. Διογένης

δ' ὥσπερ τὸ ζῆν καὶ τὸ φρονεῖν τῷ ἀέρι καὶ τὰς αἰσθήσεις ἀνάπτει. διὸ καὶ δόξειεν ἂν τῷ ὁμοίῳ ποιεῖν. οὐδὲ γὰρ τὸ ποιεῖν εἶναι καὶ πάσχειν, εἰ μὴ πάντα ἦν ἐξ ἑνός. τὴν μὲν ὄσφρησιν, τῷ περὶ τὸν ἐγκέφαλον ἀέρι. τοῦτον γὰρ ἀθροῦν εἶναι καὶ σύμμετρον τῇ ἀκοῇ. τὸν ἐγκέφαλον αὐτὸν μόνον καὶ φλεβία, λεπτότατον δ' ἐν οἷς ἡ θέσις ἀσύμμετρος, καὶ οὐ μίγνυσθαι ταῖς ὀσμαῖς. ὡς εἴ τις εἴη τῇ κράσει σύμμετρος, δῆλον ὡς αἰσθανόμενον ἄν. τὴν δ' ἀκοήν, ὅταν ὁ ἐν τοῖς ὠσὶν ἀὴρ κινηθεὶς ὑπὸ τοῦ ἔξω διαδώσῃ πρὸς τὸν ἐγκέφαλον. τὴν δὲ ὄψιν ὁρᾶν, ἐμφαινομένην εἰς τὴν κόρην. ταύτην δὲ μιγνυμένην τῷ ἐντὸς ἀέρι, ποιεῖν αἴσθησιν. σημεῖον δέ· ἐὰν γὰρ φλεγμασία γένηται τῶν φλεβῶν, οὐ μίγνυσι, τῷ ἐντὸς οὐχ ὁρᾶν ὁμοίως τῆς ἐμφάσεως οὔσης. τὴν δὲ γεῦσιν τῇ γλώττῃ, διὰ τὸ μανὸν καὶ ἁπαλόν. περὶ δὲ ἁφῆς οὐδὲν ἀφώρισεν, οὔτε πῶς, οὔτε τίνων ἐστίν. ἀλλὰ μετὰ ταῦτα πειρᾶται λέγειν διὰ τί συμβαίνει τὰς αἰσθήσεις ἀκριβεστέρας εἶναι, καὶ τῶν ποίων. ὄσφρησιν μὲν οὖν ὀξυτάτην, ἧς ἐλάχιστος ἀὴρ ἐν τῇ κεφαλῇ. ἥκιστα γὰρ μίγνυσθαι. καὶ πρὸς τούτοις ἐὰν ἕλκῃ διὰ μακροτέρου καὶ στενοτέρου· θᾶττον γὰρ οὕτω κρίνεσθαι. διόπερ ἔνια τῶν ζώων, ὀσφραντικώτερα τῶν ἀνθρώπων εἶναι. οὐ μὴν ἀλλὰ συμμέτρου γε οὔσης τῆς ὀσμῆς τῷ ἀέρι πρὸς τὴν κρᾶσιν μάλιστα ἂν αἰσθάνεσθαι τὸν ἄνθρωπον. ἀκούειν δ' ὀξύτατα, ὧν αἵ τε φλέβες λεπταί, καθάπερ τῇ αἰσθήσει καὶ τῇ ἀκοῇ τέτρηται, βραχὺ καὶ λεπτὸν καὶ εὐθύ. καὶ πρὸς τούτοις τὸ οὖς ὀρθὸν ἔχει καὶ μέγα. κινούμενον γὰρ τὸν ἐν τοῖς ὠσὶν ἀέρα, κινεῖν τὸν ἐντός. ἐὰν δὲ εὐρύτερα ᾖ, κινουμένου τοῦ ἀέρος, ἦχον εἶναι καὶ τὸν ψόφον ἄναρθρον, διὰ τὸ μὴ προσπίπτειν πρὸς ἠρεμοῦν. ὁρᾶν δ' ὀξύτατα ὅσα τόν τε ἀέρα καὶ τὰς φλέβας ἔχει λεπτάς, ὥσπερ ἐπὶ τῶν ἄλλων, καὶ ἴσα τῶν ὀφθαλμῶν λαμπρότατον. μάλιστα δ' ἐμφαίνεσθαι τὸ ἐναντίον χρῶμα. διὸ τοὺς μελανοφθάλμους μεθ' ἡμέραν, καὶ τὰ λαμπρὰ

μᾶλλον ὁρᾶν, τοὺς δ' ἐναντίους νύκτωρ. ὅτι δὲ ὁ ἐντὸς ἀὴρ αἰσθάνεται, μικρὸν ὂν μόριον τοῦ θεοῦ, * σημεῖον εἶναι. διὸ πολλάκις πρὸς ἄλλα τὸν νοῦν ἔχοντες, οὔθ' ὁρῶμεν, οὔτ' ἀκούομεν. ἡδονὴν δὲ καὶ λύπην γίνεσθαι τόνδε τὸν τρόπον· ὅταν μὲν πολὺς ὁ ἀὴρ μίσγηται τῷ αἵματι καὶ κουφίζῃ κατὰ φύσιν ὢν καὶ κατὰ πᾶν σῶμα διεξιών, ἡδονήν· ὅταν δὲ παρὰ φύσιν, καὶ μὴ μίσγηται συνιστάζοντος τοῦ αἵματος καὶ ἀσθενεστέρου καὶ πυκνοτέρου γινομένου, λύπην. ὁμοίως καὶ θράσος καὶ ὑγιείαν καὶ τἀναντία. κριτικώτατον δὲ ἡδονῆς τὴν γλῶτταν. ἁπαλώτατον γὰρ εἶναι, καὶ μανόν, καὶ τὰς φλέβας ἁπάσας ἀνήκειν εἰς αὐτήν. διὸ σημεῖά τε πλεῖστα τοῖς κάμνουσιν ἐπ' αὐτῆς εἶναι, καὶ τῶν ἄλλων ζώων τὰ χρώματα μηνύειν. ὁπόσα γὰρ ἂν ᾖ καὶ ὁποῖα, τοσαῦτα ἐμφαίνεσθαι. τὴν μὲν οὖν αἴσθησιν οὕτω καὶ διὰ τοῦτο γίνεσθαι. φρονεῖν δ' ὥσπερ ἐλέχθη, τῷ ἀέρι καθαρῷ καὶ ξηρῷ. κωλύειν γὰρ τὴν ἰκμάδα τὸν νοῦν. διὸ καὶ ἐν τοῖς ὕπνοις καὶ ἐν ταῖς μέθαις καὶ ἐν ταῖς πλησμοναῖς ἧττον φρονεῖν. ἔτι δὲ ἡ ὑγρότης ἀφαιρεῖται τὸν νοῦν. σημεῖον δ' ὅτι τὰ ἄλλα ζῶα χείρω τὴν διάνοιαν. διαπνεῖν τε γὰρ τὸν ἀπὸ τῆς γῆς ἀέρα, καὶ τροφὴν ὑγροτέραν προσφέρεσθαι. τοὺς δὲ ὄρνιθας ἀναπνεῖν μὲν καθαρόν, φύσιν δὲ ὁμοίαν ἔχειν τοῖς ἰχθύσι. καὶ γὰρ τὴν σάρκα στιφρὰν, καὶ τὸ πνεῦμα οὐ διιέναι διὰ παντός, ἀλλὰ ἵστασθαι περὶ τὴν κοιλίαν. διὸ τὴν μὲν τροφήν, ταχὺ πέττειν, αὐτὸ δ' ἄφρον εἶναι. συμβάλλεσθαι δ' ἔτι πρὸς τῇ τροφῇ καὶ τὸ στόμα καὶ τὴν γλῶτταν. οὐ γὰρ δύνασθαι συνεῖναι ἀλλήλων. τὰ δὲ φυτά, διὰ τὸ μὴ εἶναι κοῖλα, μηδὲ ἀναδέχεσθαι τὸν ἀέρα, παντελῶς ἀφαιρεῖσθαι τὸ φρονεῖν. ταυτὸν δ' αἴτιον εἶναι καὶ ὅτι τὰ παιδία ἄφρονα. πολὺ γὰρ ἔχειν τὸ ὑγρόν, ὥστε μὴ δύνασθαι διὰ παντὸς διιέναι τοῦ σώματος, ἀλλὰ ἐκκρίνεσθαι περὶ τὰ στήθη. διὸ νωθῆ τε εἶναι καὶ ἄφρονα. ὀργίλα δὲ καὶ ὅλως ὀξύρροπα καὶ ἀμε-

τὰ πλεῖστα, διὰ τὸ ἐκ μικρῶν κινεῖσθαι τὸν ἀέρα πολύν· ὅπερ καὶ τῆς λήθης αἴτιον εἶναι. διὰ γὰρ τὸ μὴ ἰέναι διὰ παντὸς τοῦ σώματος, οὐ δύνασθαι καὶ συνιέναι. σημεῖον δέ· καὶ γὰρ τοῖς ἀναμιμνησκομένοις τὴν ἀπορίαν εἶναι περὶ τὸ στῆθος· ὅταν δὲ εὕρωσι, διασκίδνασθαι καὶ ἀνακουφίζεσθαι τῆς λύπης. Διογένης μὲν οὖν πάντα βουλόμενος ἀνάπτειν τῷ ἀέρι, πολλοῦ ἀπολείπεται πρὸς πίστιν. οὔτε γὰρ τὴν αἴσθησιν οὔτε τὴν φρόνησιν ἴδιον ποιεῖ τῶν ὄψεων. ἴσως γὰρ καὶ ἀέρα τοιοῦτον καὶ κρᾶσιν καὶ συμμετρίαν ἐνδέχεται πανταχοῦ καὶ πᾶσιν ὑπάρχειν. εἰ δὲ μὴ τοῦτο αὐτὸ λεκτέον. ἔτι δὲ καὶ ἐν αὐταῖς ταῖς διαφόροις αἰσθήσεσιν, ὥστε ἐνδέχεσθαι τὰ τῆς ὄψεως τὴν ἀκοὴν κρίνειν, καὶ ὥσπερ ἡμεῖς τῇ ὀσφρήσει, ταῦτα, ἄλλο τι ζῷον ἕτερα, διὰ τὸ τὴν αὐτὴν ἔχειν κρᾶσιν. ὥστε καὶ τῇ περὶ τὸν θώρακα ἀναπνοῇ κρίνειν τότε τὰς ὀσμάς. ἐνδέχεται γὰρ ἐνίοτε, σύμμικτον εἶναι ταύταις. εὔηθες δὲ καὶ τὰ περὶ τὴν ὄψιν ὡς τῷ ἀέρι τῷ ἐντὸς ὁρώντων· ἀλλὰ διελέγχει μέν πως τοὺς τὴν ἔμφασιν ποιοῦντας, οὐ μὴν αὐτὸς λέγει τὴν αἰτίαν. ἔπειτα τὸ μὲν αἰσθάνεσθαι καὶ ἥδεσθαι καὶ φρονεῖν, ἔτι δὲ ἀναπνοῇ καὶ τῇ μίξει τοῦ αἵματος ἀποδίδωσι. πολλὰ δὲ τῶν ζῴων, τὰ μὲν, ἄναιμα, τὰ δὲ, ὅλως οὐκ ἀναπνεῖ. καὶ δεῖ διὰ παντὸς τοῦ σώματος διιέναι τὴν ἀναπνοήν. ἀλλὰ μείων ἔνια τῶν * μικροῦ γὰρ ἕνεκα τοῦτ᾽ ἐστιν. οὐθὲν ἂν κωλύοι διά γε τοῦτο, καὶ τὰ πάντα καὶ μεμνῆσθαι καὶ φρονεῖν. ἔτι δὲ εἰ καὶ τοῦτο συνέβαινεν, οὐκ ἂν ἦν ἐμποδών. οὐ γὰρ ἐν ἅπασι τοῖς μέρεσιν ὁμοίως, οἷον ἐν τοῖς σκέλεσι καὶ τοῖς ποσὶν, ἀλλ᾽ ἐν ὡρισμένοις, δι᾽ ὧν καὶ οἱ ἐν ἡλικίᾳ καὶ μέμνηνται καὶ φρονοῦσιν. εὔηθες δὲ τὸ καὶ τοὺς ἀνθρώπους διαφέρειν τῷ καθαρώτερον ἀναπνεῖν, ἀλλ᾽ οὐ τὴν φύσιν, καθάπερ καὶ τὰ ἔμψυχα τῶν ἀψύχων· ἐχρῆν γὰρ εὐθὺς μεταλλάξαντα τόπον, διαφέρειν τῷ φρονεῖν· καὶ τῶν ἀνθρώπων δὲ τοὺς ἐν τοῖς ὑψη-

λοῖς, ἐμφανεστέροις εἶναι. τῶν πάντων δὲ μάλιστα, τοὺς ὄρνιθας. οὐ γὰρ τοσοῦτον ἡ τῆς σαρκὸς διαφέρει φύσις, ὅσον ἡ τοῦ ἀέρος καθαρειότης. ἔτι δὲ τὰ φυτὰ μὴ φρονεῖν, διὰ τὸ μὴ ἔχειν κενόν. οἷς δ᾽ ἐνυπάρχει ταῦτα, πάντα φρονεῖν. Διογένης μὲν οὖν, ὥσπερ εἴπομεν, ἅπαντα προθυμούμενος ἀνάγειν εἰς τὴν ἀρχήν, πολλὰ διαμαρτάνει τῶν ἀλόγων. Δημόκριτος δὲ περὶ μὲν αἰσθήσεως οὐ διορίζει, πότερα τοῖς ἐναντίοις ἢ τοῖς ὁμοίοις ἐστίν. εἰ μὲν γὰρ ἀλλοιοῦσθαι ποιεῖ τὸ αἰσθάνεσθαι, δόξειεν ἂν τοῖς διαφόροις. οὐ γὰρ ἀλλοιοῦται τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου. πάλιν δὲ τὸ μὲν αἰσθάνεσθαι καὶ ἁπλῶς ἀλλοιοῦσθαι, πάσχειν. ἀδύνατον δέ, φησί, τὸ μὴ ταὐτὰ πάσχειν, ἀλλὰ καὶ ἕτερα ὄντα ποιεῖν οὐχ ἕτερα, ἀλλ᾽ ᾗ ταὐτόν τι πάσχει τοῖς ὁμοίοις. διὸ περὶ μὲν τούτων ἀμφοτέρως ἐστὶν ὑπολαβεῖν. περὶ ἑκάστης δ᾽ ἤδη τῶν ἐν μέρει πειρᾶται λέγειν. ὁρᾶν μὲν οὖν ποιεῖ τῇ ἐμφάσει. ταύτην δὲ ἰδίως λέγει. τὴν γὰρ ἔμφασιν οὐκ εὐθὺς ἐν τῇ κόρῃ γίνεσθαι, ἀλλὰ τὸν ἀέρα τὸν μεταξὺ τῆς ὄψεως καὶ τοῦ ὁρωμένου, τυποῦσθαι, συστελλόμενον ὑπὸ τοῦ ὁρωμένου καὶ τοῦ ὁρῶντος. ἅπαντος γὰρ ἀεὶ γίνεσθαί τινα ἀπορροήν. ἔπειτα τοῦτον στερεὸν ὄντα, καὶ ἀλλόχρων, ἐμφαίνεσθαι τοῖς ὄμμασιν ὑγροῖς, καὶ τὸ μὲν πυκνὸν οὐ δέχεσθαι, τὸ δὲ ὑγρόν, διιέναι. διὸ καὶ τοὺς ὑγροὺς τῶν σκληρῶν ὀφθαλμῶν ἀμείνους εἶναι πρὸς τὸ ὁρᾶν, εἰ ὁ μὲν ἔξω χιτών, ὡς λεπτότατος καὶ πυκνότατος εἴη· τὰ δ᾽ ἐντός, ὡς μάλιστα σομφὰ καὶ κενὰ πυκνῆς καὶ ἰσχυρᾶς σαρκός, ἔτι δὲ ἰκμάδος παχείας τε καὶ λιπαρᾶς. καὶ αἱ φλέβες κατὰ τοὺς ὀφθαλμούς, εὐθεῖαι καὶ ἄνικμοι, καὶ μὴ ἀσχημονεῖν τοῖς ἀποτυπουμένοις. τὰ γὰρ ὁμόφυλα μάλιστα ἕκαστον γνωρίζειν. πρῶτον μὲν οὖν ἄτοπος ἡ ἀποτύπωσις ἡ ἐν τῷ ἀέρι. δεῖ γὰρ ἔχειν πυκνότητα, καὶ μὴ θρύπτεσθαι τὸ τυπούμενον. ὥσπερ καὶ αὐτὸς λέγει, παραβάλλων, τοιαύτην εἶναι τὴν ἐντύπωσιν, οἷον εἰ ἐκμάξειας, εἰ σκληρόν, ἔπειτα μᾶλλον ἐν ὕδατι τυποῦσθαι

δυνατὸν

δυνατὸν ὅσῳ πυκνότερον, ἧττον δὲ ὁρᾶσθαι. καίτοι προσθήκη μᾶλλον, ὅλως δὲ ἀπορροὴν ποιοῦντα τῆς μορφῆς· ὥσπερ ἐν τοῖς περὶ τῶν εἰδῶν τί δὴ τὴν ἀποτύπωσιν ποιεῖ. αὐτὴ γὰρ ἐμφαίνει τὰ εἴδωλα. εἰ δὲ δὴ τοῦτο συμβαίνει, καὶ ὁ ἀὴρ ἀπομάττεται, καθάπερ κηρὸς, ὠθούμενος καὶ πυκνούμενος, πῶς καὶ ποία ἡ ἔμφασις γίνεται; δῆλον γὰρ ὡς ἐπὶ πρόσωπον ὁ τύπος ἔσται τῷ ὁρωμένῳ, καθάπερ ἐν τοῖς ἄλλοις. τούτου δ' ὄντος, ἀδύνατον ἐξ ἐναντίας ἔμφασιν γίνεσθαι, μὴ στραφέντος τοῦ τύπου. τοῦτο δ' ὑπὸ τίνος ἔσται καὶ πῶς, δεικτέον. οὐχ οἷόν τε γὰρ ἄλλως γίνεσθαι τὸ ὁρᾶν. ἔπειτα ὅταν ὁρᾶται πλείονα κατὰ τὸν αὐτὸν τόπον, πῶς ἐν τῷ αὐτῷ ἀέρι πλείους ἔσονται τύποι; καὶ πάλιν, πῶς ἀλλήλους ὁρᾶν ἐνδέχεται; τοὺς γὰρ τύπους ἀνάγκη συμβάλλειν ἑαυτοῖς ἑκάτερον ἀντιπρόσωπον ὄντα ἀφ' ὧν ἐσιν. ὥστε τοῦτο ζήτησιν ἔχει. καὶ πρὸς τούτῳ, διὰ τί ποτε ἕκαστος αὐτὸς αὑτὸν οὐχ ὁρᾷ. καθάπερ γὰρ τοῖς τῶν πέλας ὄμμασιν οἱ τύποι, κἄν τοῖς αὑτῶν ἐμφαίνοιντ' ἄν. ἄλλως τε εἰ καὶ εὐθὺς ἀντιπρόσωποι κεῖνται, καὶ ταὐτὸ συμβαίνει πάθος, ὥσπερ ἐπὶ τῆς ἠχοῦς. ἀνακλᾶσθαι γάρ φησι καὶ πρὸς αὐτὸν τὸν φθεγξάμενον τὴν φωνήν. ὅλως δὲ ἄτοπος ἡ τοῦ ἀέρος τύπωσις· ἀνάγκη γὰρ ἐξ ὧν λέγει, πάντα ἐναποτυποῦσθαι τὰ σώματα, καὶ πολλὰ ἐναλλάττειν. ὃ καὶ πρὸς τὴν ὄψιν ἐμπόδιον ἂν εἴη, καὶ ἄλλως οὐκ εὔλογον. ἔτι δὲ εἴπερ ἡ τύπωσις διαμένει, καὶ μὴ φανερῶν ὄντων μηδὲ πλησίον ὄντων τῶν σωμάτων, ἐχρῆν ὁρᾶν, εἰ καὶ μὴ νύκτωρ, ἀλλὰ μεθ' ἡμέραν. καίτοι τούς γε τύπους οὐχ ἧττον εἰκὸς διαμένειν νυκτὸς, ὅσῳ ἐμψυχότερος ὁ ἀήρ. ἀλλ' ἴσως τὴν ἔμφασιν ὁ ἥλιος ποιεῖ, τὸ φῶς ὥσπερ ἐπιφέρων ἐπὶ τὴν ὄψιν, καθάπερ ἔοικε βούλεσθαι λέγειν. ἐπεὶ τόγε τὸν * ἥλιον ἀπωθοῦντα ἀφ' ἑαυτοῦ καὶ ἀποπλαττόμενον πυκνὸν τὸν ἀέρα, καθάπερ φησὶν, ἄτοπον. διακρίνειν γὰρ πέφυκε μᾶλλον. ἄτοπον δὲ καὶ τὸ, μὴ μόνον τοῖς ὄμμασιν ἀλλὰ καὶ τῷ ἄλλῳ σώ-

ματι μεταδιδόναι τῆς αἰσθήσεως. φησὶ γὰρ διὰ τοῦτο καὶ ὅτι τα καὶ ὑγρότητα ἔχειν δεῖν τὸν ὀφθαλμόν, ἵν' ἐπὶ πλεῖον δέχηται, καὶ τῷ ἄλλῳ σώματι παραδιδῷ. ἄλογον δὲ καὶ τὸ μάλιστα μὲν ὁρᾶν φάναι τὰ ὁμόφυλα, τὴν δ' ἔμφασιν ποιεῖν τοῖς ἀλλόχρωσιν, ὡς οὐκ ἐμφαινομένων τῶν ὁμοίως. τὰ δὲ μεγέθη καὶ τὰ διαστήματα πῶς φαίνεται; καίπερ ἐπιχειρήσας λέγειν πως ἀποδίδωσι. περὶ μὲν οὖν ὄψεως ἰδίως ἔνια βουλόμενος λέγειν, πλείω παραδίδωσι ζήτησιν. τὴν δ' ἀκοὴν παραπλησίως ποιεῖ τοῖς ἄλλοις. εἰς γὰρ τὸ κενὸν ἐμπίπτοντα τὸν ἀέρα, κίνησιν ἐμποιεῖν, πλὴν ὅτι κατὰ πᾶν μὲν ὁμοίως τὸ σῶμα εἰσιέναι, μάλιστα δὲ καὶ πλεῖστον διὰ τῶν ὤτων, ὅτι διὰ πλείστου τε κενοῦ διέρχεται, καὶ ἥκιστα διαμίμνει. διὸ καὶ κατὰ μὲν τὸ ἄλλο σῶμα οὐκ αἰσθάνεσθαι, ταύτῃ δὲ μόνον. ὅταν δὲ ἐντὸς γένηται, σκίδνασθαι διὰ τὸ τάχος. τὴν γὰρ φωνὴν εἶναι, πυκνουμένου τοῦ ἀέρος καὶ μετὰ βίας εἰσιόντος. ὥσπερ οὖν ἐκτὸς ποιεῖ τῇ ἁφῇ τὴν αἴσθησιν, οὕτω καὶ ἐντός. ὀξύτατον δ' ἀκούειν, εἰ ὁ μὲν ἔξω χιτὼν εἴη πυκνός, τὰ δὲ φλέβια κενά, καὶ ὡς μάλιστα ἄνικμα, καὶ εὔτρητα κατὰ δὲ τὸ ἄλλο σῶμα καὶ τὴν κεφαλὴν καὶ τὰς ἀκοάς, ἔτι δὲ ὀστᾶ πυκνὰ καὶ ὁ ἐγκέφαλος εὔκρατος, καὶ τὸ περὶ αὐτὸν ὡς ξηρότατον. ἀθρόον γὰρ ἂν οὕτως εἰσιέναι τὴν φωνήν, ἅτε διὰ πολλοῦ κενοῦ καὶ ἀνίκμου καὶ εὐτρήτου εἰσιοῦσαν, καὶ ταχὺ σκίδνασθαι καὶ ὁμαλῶς κατὰ τὸ σῶμα, καὶ οὐδὲ ἐκπίπτειν ἔξω. τὸ μὲν οὖν σαφῶς ἀφορίζειν, ὁμοίως ἔχει τοῖς ἄλλοις. ἄτοπον δὲ τὸ δι' ὧν κατὰ πᾶν τὸ σῶμα τὸν ψόφον εἰσιέναι, καὶ ὅταν εἰσέλθῃ διὰ τῆς ἀκοῆς, διαχεῖσθαι κατὰ πᾶν, ὥσπερ οὐ ταῖς ἀκοαῖς ἀλλ' ὅλῳ τῷ σώματι τὴν αἴσθησιν οὖσαν. εἰ γὰρ καὶ συμπάσχει τι τῇ ἀκοῇ, διὰ τοῦτο καὶ αἰσθάνεσθαι. πάσαις γὰρ τοῦτό γε ὁμοίως ποιεῖ, καὶ οὐ μόνον ταῖς αἰσθήσεσιν ἀλλὰ καὶ τῇ ψυχῇ. καὶ περὶ μὲν ὄψεως καὶ ἀκοῆς οὕτως ἀποδίδωσι. τὰς δὲ ἄλλας αἰσθήσεις σχεδὸν ὁμοίας ποιεῖ τοῖς πλείστοις. περὶ δὲ τοῦ φρονεῖν

ἐπὶ τοσοῦτον εἴρηκεν, ὅτι γίνεται, συμμέτρως ἐχούσης τῆς ψυχῆς μετὰ τὴν κίνησιν. ἐὰν δὲ περίθερμός τις ἢ περίψυχρος γένηται, μεταλλάττειν φησί. διότι καὶ τοὺς παλαιοὺς καλῶς τοῦθ' ὑπολαβεῖν, ὅτι ἐστὶν ἀλλοφρονεῖν. ὥστε φανερὸν ὅτι τῇ κράσει τοῦ σώματος ποιεῖ τὸ φρονεῖν. ὅπερ ἴσως αὐτῷ καὶ κατὰ λόγον ἐστί, σῶμα ποιοῦντι τὴν ψυχήν. αἱ μὲν οὖν περὶ αἰσθήσεως καὶ τοῦ φρονεῖν δόξαι, σχεδὸν αὗται καὶ τοσαῦται τυγχάνουσιν οὖσαι παρὰ τῶν προτέρων. περὶ δὲ τῶν αἰσθητῶν, τίς ἡ φύσις; καὶ ποῖον ἕκαστόν ἐστιν, οἱ μὲν ἄλλοι παραλείπουσι. τῶν μὲν γὰρ ὑπὸ τὴν ἁφήν, περὶ βαρέος καὶ κούφου, καὶ θερμοῦ καὶ ψυχροῦ, λέγουσιν· οἷον ὅτι τὸ μὲν μανὸν καὶ λεπτόν, θερμόν· τὸ δὲ πυκνὸν καὶ παχύ, ψυχρόν· ὥσπερ Ἀναξαγόρας διαιρεῖ τὸν ἀέρα καὶ τὸν αἰθέρα. σχεδὸν δὲ καὶ τὸ βαρὺ καὶ τὸ κοῦφον, τοῖς αὐτοῖς, καὶ ἐπὶ ταῖς ἄνω καὶ κάτω φοραῖς· καὶ πρὸς τούτοις, περί τε φωνῆς, ὅτι κίνησις τοῦ ἀέρος, καὶ περὶ ὀσμῆς, ὅτι ἀπορροή τις. Ἐμπεδοκλῆς δὲ καὶ περὶ τῶν χρωμάτων, καὶ ὅτι τὸ μὲν λευκόν, τοῦ πυρός· τὸ δὲ μέλαν, τοῦ ὕδατος. οἱ δὲ ἄλλοι, τοσοῦτον μόνον, ὅτι τό, τε λευκὸν καὶ τὸ μέλαν, ἀρχαί, τὰ δ' ἄλλα, μιγνυμένων γίνεται τούτων. καὶ γὰρ Ἀναξαγόρας ἁπλῶς εἴρηκε περὶ αὐτῶν. Δημόκριτος δὲ καὶ Πλάτων ἐπὶ πλεῖστον εἰσὶν ἡμμένοι· καθ' ἕκαστον γὰρ ἀφορίζουσι· πλὴν ὁ μέν, οὐκ ἀποστερῶν αἰσθητῶν τὴν φύσιν· Δημόκριτος δὲ πάντα πάθη, τῆς αἰσθήσεως ποιῶν. ποτέρως μὲν οὖν ἔχει τἀληθές, οὐκ ἂν εἴη λόγος· ἐφ' ὅσον δὲ ἑκάτερος ἧπται, καὶ πῶς ἀφώρικε, πειρασθῶμεν ἀποδοῦναι, πρότερον εἰπόντες τὴν ὅλην ἔφοδον ἑκατέρου. Δημόκριτος μὲν οὖν οὐχ ὁμοίως λέγει περὶ πάντων, ἀλλὰ τὰ μὲν τοῖς μεγέθεσι, τὰ δὲ τοῖς σχήμασιν, ἔνια δὲ τάξει καὶ θέσει διορίζει. Πλάτων δὲ σχεδὸν ἅπαντα πρὸς τὰ πάθη καὶ τὴν αἴσθησιν ἀποδίδωσιν· ὥστε δόξειεν ἂν ἑκάτερος ἐναντίως τῇ ὑποθέσει λέγειν. ὁ μὲν γάρ, πάθη

ποιῶν τῆς αἰσθήσεως καθ' αὑτά, διορίζει τὴν φύσιν· ὁ δὲ καθ' αὑτὸ ποιῶν τὰς οὐσίας, πρὸς τὰ πάθη τῆς αἰσθήσεως ἀποδίδωσι. βαρὺ μὲν οὖν καὶ κοῦφον τῷ μεγέθει διαιρεῖ Δημόκριτος. εἰ γὰρ διακριθῇ ἕνθεν ἕκαστον, εἰ καὶ κατὰ σχῆμα διαφέροι, διαφέρει σταθμὸν ἂν ἐπὶ μεγέθει τὴν φύσιν ἔχειν. οὐ μὴν ἀλλ' ἔν γε τοῖς μικτοῖς, κουφότερον ἂν εἶναι τὸ πλέον ἔχον κενόν, βαρύτερον δέ, τὸ ἔλαττον. ἐν ἐνίοις μὲν οὕτως εἴρηκεν· ἐν ἄλλοις δὲ κοῦφον εἶναί φησιν ἁπλῶς τὸ λεπτόν. παραπλησίως δὲ καὶ περὶ σκληροῦ καὶ μαλακοῦ. σκληρὸν μὲν γὰρ εἶναι, τὸ πυκνόν· μαλακὸν δέ, τὸ μανόν· καὶ τὸ μᾶλλόν τι καὶ ἧττον καὶ μάλιστα, κατὰ λόγον. διαφέρειν δέ τι τὴν θέσιν καὶ τὴν ἐναπόληψιν τῶν κενῶν τοῦ σκληροῦ καὶ μαλακοῦ, καὶ βαρέος καὶ κούφου. διὸ σκληρότερον μὲν εἶναι σίδηρον, βαρύτερον δὲ μόλυβδον. τὸν μὲν γὰρ σίδηρον, ἀνωμάλως συγκεῖσθαι, καὶ τὸ κενὸν ἔχειν πολλαχῇ, καὶ κατὰ μεγάλα πεπυκνῶσθαι καὶ κατὰ ἔνια· ἁπλῶς δέ, πλέον ἔχειν κενόν. τὸν δὲ μόλυβδον, ἔλαττον ἔχοντα κενόν, ὁμαλῶς συγκεῖσθαι κατὰ πᾶν ὁμοίως. διὸ βαρύτερον μέν, μαλακώτερον δ' εἶναι τοῦ σιδήρου. περὶ μὲν βαρέος καὶ κούφου, καὶ σκληροῦ καὶ μαλακοῦ, ἐν τούτοις ἀφορίζει· τῶν δὲ ἄλλων αἰσθητῶν οὐδενὸς εἶναι φύσιν, ἀλλὰ πάντα πάθη τῆς αἰσθήσεως ἀλλοιουμένης, ἐξ ἧς γίνεσθαι τὴν φαντασίαν. οὐδὲ γὰρ τοῦ ψυχροῦ καὶ τοῦ θερμοῦ φύσιν ὑπάρχειν, ἀλλὰ τὸ σχῆμα μεταπῖπτον ἐργάζεσθαι καὶ τὴν ἡμετέραν ἀλλοίωσιν. ὅ, τι γὰρ ἂν ἄθρουν ᾖ, τοῦτ' ἐνισχύειν ἑκάστῳ, τὸ δ' εἰς μακρὰ διανενεμημένον, ἀναίσθητον εἶναι. σημεῖον δ' ὡς οὐκ εἰσὶ φύσει, τὸ μὴ ταὐτὰ πᾶσι φαίνεσθαι τοῖς ζῴοις, ἀλλ' ὃ ἡμῖν γλυκύ, τοῦτ' ἄλλοις πικρόν, καὶ ἑτέροις ὀξύ, καὶ ἄλλοις δριμύ, τοῖς δὲ στρυφνόν· καὶ τὰ ἄλλα δ' ὡσαύτως. ἔτι δ' αὐτοὺς μεταβάλλειν τῇ κρίσει καὶ τὰ πάθη καὶ τὰς ἡλικίας. ᾗ καὶ φανερὸν ὡς ἡ διάθεσις, αἰτία τῆς φαντασίας. ἁπλῶς μὲν οὖν περὶ τῶν αἰσθη-

τὴν οὕτως δεῖν ὑπολαμβάνειν. οὐ μὴν ἀλλ' ὥσπερ καὶ τὰ ἄλλα, καὶ ταῦτα ἀναπέμπει τοῖς σχήμασι· πλὴν οὐχ ἁπάντων ἀποδίδωσι τὰς μορφάς, ἀλλὰ μᾶλλον τῶν χυλῶν καὶ τῶν χρωμάτων· καὶ τούτων ἀκριβέστερον διορίζει τὰ περὶ τοὺς χυλούς, ἀναφέρων τὴν φαντασίαν πρὸς ἄνθρωπον. τὸν μὲν, ὀξὺν εἶναι τῷ ὄμματι, γωνιοειδῆ τε καὶ πολυκαμπῆ καὶ μικρὸν καὶ λεπτόν. διὰ γὰρ τὴν δριμύτητα, ταχὺ καὶ πάντῃ διαδύεσθαι· τραχὺν δ' ὄντα καὶ γωνιοειδῆ, συνάγειν καὶ συσπᾶν. διὸ καὶ θερμαίνειν τὸ σῶμα, κενότητας ἐμποιοῦντα. μάλιστα γὰρ θερμαίνεσθαι τὸ πλεῖστον ἔχον κενόν. τὸν δὲ γλυκὺν, ἐκ περιφερῶν συγκεῖσθαι σχημάτων οὐκ ἄγαν μικρῶν· διὸ καὶ διαχεῖν ὅλως τὸ ὄμμα καὶ οὐ βιαίως, καὶ οὐ ταχὺ πάντα περαίνειν· τοὺς ἄλλους ταράττειν, ὅτι διαδύων πλανᾷ τὰ ἄλλα καὶ ὑγραίνει. ὑγραινόμενα δὲ καὶ ἐκ τῆς τάξεως κινούμενα, συρρεῖν εἰς τὴν κοιλίαν. ταύτην γὰρ εὐπορώτατον εἶναι διὰ τὸ πλεῖστον εἶναι κενόν. τὸν δὲ στρυφνὸν, ἐκ μεγάλων σχημάτων καὶ πολυγωνίων, καὶ περιφερὲς ἥκιστ' ἐχόντων. ταῦτα γὰρ ὅταν εἰς τὰ σώματα ἔλθῃ, ἐπιτυφλοῦντα, ἐμπλάττειν τε τὰ φλεβία καὶ κωλύειν συρρεῖν· διὸ καὶ τὰς κοιλίας ἱστάναι. τὸν δὲ πικρὸν, ἐκ μικρῶν καὶ λείων καὶ περιφερῶν. ἀλλ' ἐπ' ἐνίων μὲν σκολιῶν, διὸ οὐδὲ πολυκάμπτων. βούλεται δὲ σκολιὰ λέγειν ἅπερ περίπλαξιν ἔχει πρὸς ἄλληλα καὶ συμπλοκήν. μεγάλων μὲν, ὅτι ἡ δύναμις ἐπιπολάζει. μικρὰ γὰρ ὄντα καὶ τυπτόμενα τοῖς περιέχουσι, μίγνυται ἐν τῷ παντί. οὐ περιφερῶν δ' ὅτι τὸ μὲν ἁλμυρὸν, τραχύ, τὸ δὲ περιφερές, λεῖον, οὐ σκαληνὸν, ὥστε μὴ περιπλάττεσθαι. διὸ ψαφαρὸν εἶναι. τὸν δὲ δριμὺν, μικρὸν, καὶ περιφερῆ, γωνιοειδῆ, σκολιὸν δὲ οὐκ ἔχειν. τὸν μὲν γὰρ δριμὺν πολυγώνιον ποιεῖν τῇ τραχύτητι θερμαίνειν καὶ διαχεῖν, διὰ τὸ μικρὸν εἶναι καὶ περιφερῆ καὶ γωνιοειδῆ. καὶ γὰρ τὸ γωνιοειδὲς εἶναι τοιοῦτον. ὡσαύτως δὲ καὶ τὰς ἄλλας ἑκάστου δυνάμεις ἀποδίδωσιν, ἀνάγων εἰς τὰ σχήματα ἁπάντων

δὲ τῶν σχημάτων οὐδὲν ἀκέραιον εἶναι καὶ ἀμιγὲς τοῖς ἄλλοις, ἀλλ᾽ ἐν ἑκάστῳ πολλοὺς εἶναι· καὶ τὸν αὐτὸν ἔχειν λείου καὶ τραχέος, καὶ περιφεροῦς καὶ ὀξέος, καὶ τῶν λοιπῶν. οὗ δ᾽ ἂν ἐνῇ πλεῖστον, τοῦτο μάλιστα ἐνισχύειν πρός τε τὴν αἴσθησιν καὶ τὴν δύναμιν. ἔτι δὲ εἰς ὁποίαν ἕξιν ἂν εἰσέλθῃ· διαφέρειν γὰρ οὐκ ὀλίγον. καὶ τοῦτο διὰ τὸ αὐτὸ, τἀναντία, καὶ τἀναντία τὸ αὐτὸ πάθος ποιεῖν ἐνίοτε. καὶ περὶ μὲν τῶν χυλῶν οὕτως ἀφώρισεν. ἄτοπον δ᾽ ἂν φανείη, πρῶτον μὲν τὸ μὴ πάντων ὁμοίως ἀποδοῦναι τὰς αἰτίας, ἀλλὰ δριμὺ μὲν, καὶ κοῦφον, καὶ μαλακὸν καὶ σκληρὸν, καὶ μεγέθει καὶ σκληρότητι, καὶ τῷ μανῷ καὶ πυκνῷ· θερμὸν δὲ καὶ ψυχρὸν, καὶ τὰ ἄλλα, τοῖς σχήμασιν. ἔπειτα, βαρέος μὲν καὶ κούφου, καὶ σκληροῦ καὶ μαλακοῦ, καθ᾽ αὑτὰ ποιεῖν φύσεις. μέγεθος μὲν γὰρ καὶ σμικρότης, καὶ τὸ πυκνὸν καὶ τὸ μανὸν οὐ πρὸς ἕτερόν ἐστι, θερμοῦ δὲ καὶ ψυχροῦ, καὶ τῶν ἄλλων, πρὸς τὴν αἴσθησιν. καὶ ταῦτα, πολλάκις λέγοντα διότι τοῦ χυμοῦ τὸ σχῆμα, σφαιροειδές. ὅλως δὲ μέγιστον ἐναντίωμα καὶ κοινὸν ἐπὶ πάντων, ἅμα μὲν πάθη ποιεῖν τῆς αἰσθήσεως, ἅμα δὲ τοῖς σχήμασι διορίζειν, καὶ τὸ αὐτὸ φαίνεσθαι, τοῖς μὲν, πικρὸν, τοῖς δὲ, γλυκὺ, τοῖς δ᾽ ἄλλοις ἄλλο. οὔτε γὰρ τὸ σχῆμα πάθος εἶναι, οὔτε ταυτὸ τοῖς μὲν σφαιροειδὲς, τοῖς δ᾽ ἄλλοις * ἀνάγκη δ᾽ ἴσως, εἴπερ τοῖς μὲν γλυκὺ, τοῖς δὲ πικρὸν, οὐδὲ κατὰ τὰς ἡμετέρας ἕξεις μεταβάλλειν τὰς μορφάς. ἁπλῶς δὲ τὸ μὲν σχῆμα, καθ᾽ αὑτό ἐστι, τὸ δὲ γλυκὺ καὶ ὅλως τὸ αἰσθητὸν, πρὸς ἄλλο, καὶ ἐν ἄλλοις, ὥς φησιν. ἁπλῶς δὲ καὶ τὸ πᾶσιν ἀξιοῦν ταυτὸ φαίνεσθαι τῶν αὐτῶν αἰσθανομένοις, καὶ τούτων τὴν ἀλήθειαν ἐλέγχειν· καὶ ταῦτα, εἰρηκότα πρότερον, τὸ τοῖς ἀνομοίως διακειμένοις, ὅμοια φαίνεσθαι. καὶ πάλιν, τὸ μηθὲν μᾶλλον ἕτερον ἑτέρου τυγχάνειν τῆς ἀληθείας. εἰκὸς γὰρ τὸ βέλτιον τοῦ χείρονος, καὶ τὸ κάμνον τοῦ μὴ κάμνοντος· κατὰ φύσιν γὰρ μᾶλλον. ἔτι δὲ εἴπερ μή ἐστι φύσις τῶν αἰσθητῶν, διὰ τὸ μὴ ταυτὰ πᾶσι φαίνεσθαι, δῆλον ὡς οὐδὲ τῶν ζώων,

οὐδὲ τῶν ἄλλων οὐθενός. οὐδὲ γὰρ περὶ τούτων ὁμοδοξοῦσι. καίτοι εἰ μὴ καὶ τὸ αὐτὸ γίνεται πᾶσι τὸ γλυκὺ καὶ τὸ πικρόν, ἀλλ' ἤγε φύσις τοῦ πικροῦ καὶ τοῦ γλυκέος, ἡ αὐτὴ φαίνεται πᾶσιν. ὅπερ καὶ αὐτὸς ἂν δόξειεν ἐπιμαρτυρεῖν, ὅτι ἂν τὸ ἡμῖν πικρόν, ἄλλοις εἶναι γλυκὺ καὶ στρυφνόν, εἰ μή τις ἦν ὡρισμένη φύσις αὐτοῦ. ἔτι δὲ ποιεῖ σαφέστερον, ἐν οἷς φησι γίνεσθαι μὲν ἕκαστον καὶ εἶναι κατ' ἀλήθειαν, ἰδίως δ' ἐπὶ μικροῦ, μι[illegible] ἔχειν συνθέσεως. ὥστε διά γε τούτων ἐναντίον ἂν φανείη τὸ μὴ ποιεῖν φύσιν τινὰ τῶν αἰσθητῶν. καὶ πρὸς τούτοις, ὅπερ ἐλέχθη καὶ πρότερον, ὅταν σχῆμα μὲν ἀποδιδῷ τῆς οὐσίας, ὥσπερ καὶ τῶν ἄλλων, μὴ εἶναι δὲ λέγῃ φύσιν. ἢ γὰρ οὐδενὸς ὅλως, ἢ καὶ τούτων ἔσται, τῆς αὐτῆς γε ὑπαρχούσης αἰτίας. ἔτι δὲ τὸ θερμόν τε καὶ ψυχρόν, ἅπερ ἀρχὰς τιθέασιν, εἰκὸς ἔχειν τινὰ φύσιν. εἰ δὲ ταῦτα, καὶ τὰ ἄλλα. νῦν δὲ σκληροῦ μὲν καὶ μαλακοῦ, καὶ βαρέος καὶ κούφου ποιεῖ τὴν οὐσίαν, ὅπερ οὐχ ἧττον ἔδοξε λέγεσθαι πρὸς ἡμᾶς· θερμοῦ δὲ καὶ ψυχροῦ καὶ τῶν ἄλλων οὐδενός. καίτοι τό γε βαρὺ καὶ κοῦφον ὅταν διορίζῃ τοῖς μεγέθεσιν, ἀνάγκη τὰ ἁπλᾶ πάντα τὴν αὐτὴν ἔχειν ὁρμὴν τῆς φορᾶς· ὥστε μιᾶς τινὸς ἂν ὕλης εἴη καὶ τῆς αὐτῆς φύσεως. ἀλλὰ περὶ μὲν τούτων ἔοικε συνηκολουθηκέναι τοῖς ποιοῦσιν ὅλως τὸ φρονεῖν κατὰ τὴν ἀλλοίωσιν ἥπερ ἐστὶν ἀρχαιοτάτη δόξα. πάντες γὰρ οἱ παλαιοὶ καὶ οἱ ποιηταὶ καὶ σοφοὶ κατὰ τὴν διάθεσιν ἀποδιδόασι τὸ φρονεῖν. τῶν δὲ χυλῶν ἑκάστῳ τὸ σχῆμα ἀποδιδόασι, πρὸς τὴν δύναμιν ἀφομοιοῦν τοῖς ἐν τοῖς πάθεσιν. ὅπερ οὐ μόνον ἐξ ἐκείνων, ἀλλὰ καὶ ἐκ τῶν αἰσθητηρίων ἔδει συμβαίνειν, ἄλλως τε καὶ εἰ πάθη τούτων ἐστίν. οὐ γὰρ πᾶν τὸ σφαιροειδές, οὐδὲ τὰ ἄλλα σχήματα τὴν αὐτὴν ἔχει δύναμιν. ὥστε καὶ τὸ κάτω κείμενον ἔδει διορίζειν πότερον ἐξ ὁμοίων ἢ ἐξ ἀμφοῖν ἐστι, καὶ πῶς ἡ τῶν αἰσθήσεων ἀλλοίωσις γίνεται, καὶ πρὸς τούτοις, ὁμοίως ἐπὶ πάντων ἀποδοῦναι τῶν διὰ τῆς ἁφῆς, καὶ μὴ μόνον τὰ περὶ γεῦσιν,

ἀλλὰ καὶ ταῦτα μὲν ἤτοι διαφορὰν τινὰ ἔχει πρὸς τοὺς χυλοὺς, ἣν ἔδει διελεῖν, εἰ δὲ παρεῖται, δυνατὸν ὂν ὁμοίως εἰπεῖν. τῶν δὲ χρωμάτων, ἁπλᾶ μὲν λέγει τέτταρα. λευκὸν μὲν οὖν εἶναι, τὸ λεῖον. ὃ γὰρ ἂν μὴ τραχὺ μηδ' ἀποσκιάζῃ μηδὲ δυσδίοδον ᾖ, τοιοῦτον πᾶν λαμπρὸν εἶναι· ὅθεν καὶ εὐθύτρυπα καὶ διαυγῆ τὰ λαμπρὰ εἶναι. τὰ μὲν οὖν σκληρὰ τῶν λευκῶν ἐκ τοιούτων σχημάτων συγκεῖσθαι· οἷον ἡ ἐντὸς πλὰξ τῶν κογχυλίων. οὕτω γὰρ ἀνάσκια καὶ εὐαγῆ τε εὐθύπορα εἶναι. τὰ ψαθυρὰ καὶ εὔθρυπτα, ἐκ περιφερῶν μὲν, λοξῶν δὲ τῇ θέσει πρὸς ἄλληλα. καὶ τὰς δύο συζεύξεις, τὴν δ' ὅλην τάξιν ἔχειν ὅτι μάλιστα ὁμοίαν. τοιούτων δ' ὄντων, ψαθυρὰ μὲν εἶναι διότι κατὰ μικρὸν ἡ σύναψις, εὔθρυπτα δ' ὅτι ὁμοίως κεῖνται. ἄσκια δὲ, διότι τέλεια τε πλατέα. λευκότερα δ' ἀλλήλοις, τῷ τὰ σχήματα τὰ εἰρημένα, καὶ ἀκριβέστερα καὶ ἀμιγέστερα εἶναι, καὶ τὴν τάξιν καὶ τὴν θέσιν ἔχειν μᾶλλον τὴν εἰρημένην. τὸ μὲν οὖν λευκὸν, ἐκ τοιούτων εἶναι σχημάτων· τὸ δὲ μέλαν, ἐκ τῶν ἐναντίων, ἐκ τραχέων καὶ σκαληνῶν καὶ ἀνομοίων. οὕτω γὰρ ὂν σκιάζειν, καὶ οὐκ εὐθεῖς εἶναι τοὺς πόρους οὐδ' εὐδιόδους. ἔτι δὲ τὰς ἀπορροίας, νωθεῖς καὶ ταραχώδεις. διαφέρειν γάρ τι καὶ τὴν ἀπορροὴν, τῷ ποιὰν εἶναι πρὸς τὴν φαντασίαν, ἣν γίνεσθαι διὰ τὴν ἐναπόληψιν τοῦ ἀέρος ἀλλοίαν. ἐρυθρὸν δ' ἐξ οἵωνπερ τὸ θερμὸν, πλὴν ἐκ μειζόνων. ἐὰν γὰρ αἱ συγκρίσεις ὦσι μείζους ὁμοίων ὄντων τῶν σχημάτων, μᾶλλον ἐρυθρὸν εἶναι. σημεῖον δ' ὅτι ἐκ τοιούτων τὸ ἐρυθρόν· ἡμᾶς τε γὰρ θερμαινομένους, ἐρυθραίνεσθαι, καὶ τὰ ἄλλα τὰ πυρούμενα, μέχρις ἂν οὗ ἔχῃ τὸ τοῦ πυροειδοῦς. ἐρυθρότερα δὲ τὰ ἐκ μεγάλων ὄντα σχημάτων, οἷον τὴν φλόγα καὶ τὸν ἄνθρακα τῶν χλωρῶν ξύλων ἢ τῶν αὔων· καὶ τὸν σίδηρον δὲ τε τὰ ἄλλα τὰ πυρούμενα. λαμπρότατα μὲν γὰρ εἶναι τὰ πλεῖστον ἔχοντα καὶ λεπτότατον πῦρ, ἐρυθρότερα δὲ, τὰ παχύτερον τε ἔλαττον. δι'

ὃ καὶ ἧττον εἶναι θερμὰ τὰ ἐρυθρότερα. θερμὸν μὲν γὰρ, τὸ λε-
πτὸν, τὸ δὲ χλωρὸν, ἐκ τοῦ στερεοῦ καὶ τοῦ κενοῦ συνεστάναι
μεγάλων ἐξ ἀμφοῖν, τῇ θέσει δὲ καὶ τάξει αὐτῶν τὴν χρόαν. τὰ
μὲν οὖν ἁπλᾶ χρώματα, τούτοις κεχρῆσθαι τοῖς σχήμασιν. ἕ-
καστον δὲ καθαρώτερον, ὅσῳ ἂν ἐξ ἀμιγεστέρων ᾖ. τὰ δὲ ἄλ-
λα, κατὰ τὴν τούτων μῖξιν. οἷον τὸ μὲν χρυσοειδὲς, καὶ τὸ τοῦ χαλ-
κοῦ, καὶ πᾶν τὸ τοιοῦτον, ἐκ τοῦ λευκοῦ καὶ τοῦ ἐρυθροῦ. τὸ μὲν γὰρ
λαμπρὸν ἔχειν ἐκ τοῦ λευκοῦ, τὸ δὲ ὑπέρυθρον ἀπὸ τοῦ ἐρ-
υθροῦ. πίπτειν γὰρ εἰς τὰ κενὰ τοῦ λευκοῦ τῇ μίξει τὸ ἐρυθρόν,
ἐὰν δὲ προστεθῇ τούτοις τὸ χλωρὸν, γίνεσθαι τὸ κάλλιστον
χρῶμα. δεῖν δὲ μικρὰς τοῦ χλωροῦ τὰς συγκρίσεις εἶναι. μεγά-
λας γὰρ οὐχ οἷόν τε, συγκειμένων οὕτω τοῦ λευκοῦ καὶ τοῦ ἐ-
ρυθροῦ. διαφόρους δὲ ἔσεσθαι τὰς χρόας, τῷ πλέον καὶ ἔλαττον
λαμβάνειν. τὸ δὲ πορφυροῦν, ἐκ λευκοῦ καὶ μέλανος καὶ
ἐρυθροῦ· πλείστην μὲν μοῖραν ἔχοντος τοῦ ἐρυθροῦ, μικρὰν δὲ
τοῦ μέλανος, μέσην δὲ τοῦ λευκοῦ· διὸ καὶ ἡδὺ φαίνεσθαι πρὸς
τὴν αἴσθησιν. ὅτι μὲν οὖν τὸ μέλαν καὶ τὸ ἐρυθρὸν αὐτῷ ἐνυ-
πάρχει, φανερὸν εἶναι τῇ ὄψει. διότι δὲ τὸ λευκὸν τὸ λαμπρὸν καὶ
διαυγὲς σημαίνειν. ταῦτα γὰρ ποιεῖν τὸ λευκόν. τὴν δ' ἴσατιν
ἐκ μέλανος σφόδρα καὶ χλωροῦ, πλείω δὲ μοῖραν ἔχειν τοῦ
μέλανος. τὸ δὲ πράσινον, ἐκ πορφυροῦ, καὶ τῆς ἰσάτιδος, ἢ
ἐκ χλωροῦ καὶ πορφυροειδοῦς. τὸ γὰρ θεῖον εἶναι τοιοῦτον, καὶ μετέ-
χειν τοῦ λαμπροῦ. τὸ δὲ κυανοῦν, ἐξ ἰσάτιδος καὶ πυρώδους.
σχημάτων δὲ περιφερῶν καὶ βελονοειδῶν, ὅπως τὸ στίλβον τῷ
μέλανι ἐνῇ· τὸ δὲ καρύινον, ἐκ χλωροῦ καὶ κυανοειδοῦς. ἐὰν δὲ
χλωρὸν μιχθῇ, φλογοειδὲς γίνεσθαι· τὸ γὰρ ἄσκιον καὶ μελανό-
χρων ἐξείργεσθαι, σχεδὸν δὲ καὶ τὸ ἐρυθρὸν τῷ λευκῷ μιχθὲν, χλω-
ρὸν ποιεῖν εὐαγὲς καὶ οὐ μέλαν· διὸ καὶ τὰ φυόμενα, χλωρὰ τὸ
πρῶτον εἶναι, πρὸ τοῦ θερμανθῆναι καὶ διαχεῖσθαι. καὶ πλή-
θει μὲν τοσούτων ἐπιμέμνηται χρωμάτων, ἄπειρα δὲ εἶναι καὶ

τοὺς χυλοὺς κατὰ τὰς μίξεις, ἐάν τις τὰ μὲν ἀφαιρῇ, τὰ δὲ προστιθῇ. καὶ τὸ μὲν ἔλαττον μίσγῃ, τὸ δὲ πλεῖον. οὐθὲν γὰρ ὅμοιον ἔσεσθαι θάτερον θατέρῳ. πρῶτον μὲν οὖν, τὸ πλείους ἀποδοῦναι τὰς ἀρχάς, ἔχει τινὰ ἀπορίαν. οἱ γὰρ ἄλλοι τὸ λευκόν, καὶ τὸ μέλαν, ὡς τούτων ἁπλῶν ὄντων μόνων· ἔπειτα τὸ μὴ πᾶσι τοῖς λευκοῖς μίαν ποιῆσαι τὴν μορφήν, ἀλλ' ἑτέραν τοῖς σκληροῖς καὶ τοῖς ψαθυροῖς. οὐ γὰρ εἰκὸς ἄλλην αἰτίαν εἶναι τοῖς διαφόροις κατὰ τὴν ἁφήν. οὐδ' ἂν ἔτι τὸ σχῆμα αἴτιον εἴη τῆς διαφορᾶς, ἀλλὰ μᾶλλον ἡ θέσις. ἐνδέχεται γὰρ καὶ τὰ περιφερῆ καὶ ἁπλῶς πάντα ἐπισκιάζειν ἑαυτοῖς. σημεῖον δὲ· καὶ γὰρ αὐτὸς ταύτην φέρει τὴν πίστιν, ὅσα τῶν λείων μέλανα φαίνεται. διὰ γὰρ τὴν σύμφυσιν καὶ τὴν τάξιν, ὡς τὴν αὐτὴν ἔχοντα τῷ μέλανι φαίνεσθαι ταῦτα, καὶ πάλιν ὅσα λευκὰ τῶν τραχέων. ἐκ μεγάλων γὰρ εἶναι ταῦτα, καὶ τὰς συνθέσεις, οὐ περιφερεῖς ἀλλὰ προσκρούσας· καὶ τῶν σχημάτων τὰς μορφὰς μεμιγμένας, ὥσπερ ἡ ἀνάβασις, καὶ τὰ πρὸ τῶν τειχῶν ἔχει χώματα. τοιοῦτον γὰρ ὄν, ἄσκιον εἶναι, καὶ οὐ κωλύεσθαι τὸ λαμπρόν. πρὸς δὲ τούτοις πῶς λέγει καὶ ἐξ ὧν τὸ λευκὸν ἐνίων γίνεσθαι μέλαν, εἰ τεθείη οὕτως ὥστ' ἐπισκιάζειν; ὅλως δὲ τοῦ διαφανοῦς καὶ τοῦ λαμπροῦ μᾶλλον ἔοικε τὴν φύσιν ἢ τοῦ λευκοῦ λέγειν. τὸ γὰρ διόπτον εἶναι, καὶ μὴ ἐπαλλάττειν τοὺς πόρους, τοῦ διαφανοῦς. ἐπὶ πόσα δὲ λευκά, τὰ διαφανῆ. ἔτι δὲ τὸ μὲν εὐθεῖς κεῖσθαι τοὺς πόρους, τῶν δὲ μεταξὺ ἐπαλλάττειν. ὡς εἰπούσης τῆς φύσεως, ὑπολαμβάνειν φασὶ διὰ τὴν ἀπορροὴν καὶ τὴν ἔμφασιν τὴν εἰς τὴν ὄψιν. εἰ δὲ τοῦτο ὅτι, τί διοίσει ὁμοίως κεῖσθαι κατ' ἀλλήλους, ἢ ἐπαλλάττειν; οἱ δὲ τὴν ἀπορροὴν ἀπὸ τοῦ κενοῦ περιγίνεσθαι, ῥᾴδιον ὑπολαβεῖν. ὥστε λεκτέον τούτου τὴν αἰτίαν. ἔοικε γὰρ ἀπὸ τοῦ φωτὸς ἢ ἀπὸ ἄλλου τινὸς ποιεῖν τὸ λευκόν. διὸ καὶ τὴν παχύτητα τοῦ ἀέρος αἰτιᾶσθαι πρὸς τὸ φαίνεσθαι μέλαν. ἔτι δὲ ὡς τὸ μέλαν

ἀποδίδωσιν, οὐ ῥᾴδιον καταμαθεῖν. ἡ σκιὰ γὰρ, μέλαν τι καὶ ἐπιπρόσθησίς ἐστι τοῦ λευκοῦ· διὸ πρότερον τὸ λευκὸν τὴν φύσιν. ἅμα δὲ οὐ μόνον τὸ ἐπισκιάζειν, ἀλλὰ καὶ τὴν παχύτητα τοῦ ἀέρος καὶ τῆς εἰσιούσης ἀπορροῆς αἰτιᾶται, καὶ τὴν ταραχὴν τοῦ ὀφθαλμοῦ. πότερον δὲ ταῦτα συμβαίνει διὰ τὸ μὴ ἀδίοπτον, ἢ καὶ ἄλλως γίνοιτ' ἄν, καὶ ποίῳ ἢ μέλανι, οὐ διασαφεῖ. ἄτοπον δὲ καὶ τὸ χλωροῦ μὴ ἀποδοῦναι μορφὴν, ἀλλὰ μόνον ἐκ τοῦ στερεοῦ καὶ τοῦ κενοῦ ποιεῖν. κοινὰ γὰρ ταῦτά τε πάντων, καὶ ἐξ ὁποιωνοῦν ἔσται χρωμάτων. χρῆν δ' ὥσπερ καὶ τοῖς ἄλλοις ἴδιόν τι ποιῆσαι. καὶ εἰ μὲν ἐναντίον τῷ ἐρυθρῷ, καθάπερ τὸ μέλαν τῷ λευκῷ, τὴν ἐναντίαν ἔχει μορφήν. εἰ δ' ἢ μὴ ἐναντίον, αὐτὸ τοῦτ' ἄν τις θαυμάσειεν, ὅτι τὰς ἀρχὰς οὐκ ἐναντίας ποιεῖ. δοκεῖ γὰρ ἐν πᾶσιν. οὕτως μάλιστα δ' ἐχρῆν τοῦτο διακριβοῦν, ποῖα τῶν χρωμάτων ἁπλᾶ· καὶ διὰ τί τὰ μὲν σύνθετα, τὰ δὲ ἀσύνθετα. πλείστη γὰρ ἀπορία περὶ τῶν ἀρχῶν. ἀλλὰ τοῦτο μὲν ἴσως χαλεπόν. ἐπεὶ καὶ τῶν χυμῶν εἴ τις δύναιτο τοὺς ἁπλοῦς ἀποδοῦναι, μᾶλλον ἂν οὗτος λέγοι. περὶ δὲ ὀσμῆς προσαφορίζειν εἴρηκέ γε, πλὴν τοσοῦτον, ὅτι τὸ λεπτὸν ἀπορρέον ἀπὸ τῶν βαρέων ποιεῖ τὴν ὀδμήν. ποῖον δέ τι τὴν φύσιν ὂν ὑπὸ τίνος πάσχει, οὐκ ἔτι προσέθηκεν· ὅπερ ἴσως ἦν κυριώτατον. Δημόκριτος μὲν οὖν οὕτως ἔνια παραλείπει. Πλάτων δὲ, θερμὸν μὲν εἶναί φησι τὸ διακρῖνον ὀξύτητι τῶν γωνιῶν· ψυχρὸν δὲ, ὅταν δι' ὑγρότητα ἐκκρίνοντα τὰ ἐλάττω καὶ μὴ δυνάμενα εἰσιέναι, τὰ μείζω κύκλῳ συνωθῇ. τῷ γὰρ μάχῃ τρόμον, καὶ τῷ πάθει ῥῖγος εἶναι ὄνομα, σκληρὸν, ᾧ ἂν ἡ σὰρξ ὑπείκῃ. μαλακὸν δὲ, ὃ ἂν τῇ σαρκὶ καὶ πρὸς ἄλληλα ὁμοίως. ὑπείκειν δὲ τὸ μικρὰν ἔχον βάσιν· βαρὺ δὲ καὶ κοῦφον, τῷ μὲν ἄνω καὶ κάτω, διορίζειν οὐ δεῖν. οὐ γὰρ εἶναι τοιούτων φύσιν. ἀλλὰ κοῦφον μὲν εἶναι, τὸ εἰς τὸν οἰκεῖον φύσει τόπον ῥᾳδίως ἑλκόμενον, βαρὺ δὲ, τὸ χαλεπῶς.

τραχὺ δὲ καὶ λεῖον, ὡς ἱκανῶς ὄντα φανερά, παραλείπει καὶ οὐ λέγει. ἡδὺ δὲ καὶ αὐστηρὸν, τὸ μὲν εἰς φύσιν, ἀθρόον πάθος· τὸ δὲ παρὰ φύσιν καὶ βίᾳ, λυπηρόν· τὰ δὲ μέσα καὶ ἀναίσθητα, ἀνάλογον. διὸ καὶ κατὰ τὸ ὁρᾶν οὐκ εἶναι λύπην οὐδ᾽ ἡδονὴν τῇ διακρίσει καὶ συγκρίσει. περὶ δὲ χυμῶν ἐν μὲν τοῖς περὶ ὕδατος, πλείαρα λέγει ὕδατος εἴδη· ἐν χυλοῖς μὲν, οἶνον, ὀπὸν, ἔλαιον, μέλι· ἐν δὲ τοῖς πάθεσι, τὸ γεώδη χυμὸν, καὶ διὰ ταῦτα συνάγοντα τοὺς χυμοὺς καὶ συγκρίνοντα, τὰ μὲν τραχύτερα, στρυφνὰ εἶναι, τὰ δὲ ἧττον, αὐστηρά. τὸ δὲ ῥυπτικὸν τῶν πόρων καὶ ἀποκαθαρτικὸν, ἁλμυρόν. τὸ δὲ σφόδρα ῥυπτικὸν, ὥστε καὶ ἐκτήκειν, πικρόν, τὰ δὲ θερμαινόμενα καὶ ἀναφερόμενα καὶ διακρίνοντα, δριμέα· τὰ δὲ κινοῦντα, ὀξέα. τὰ δὲ σὺν τῇ ὑγρότητι τῇ ἐν τῇ γλώσσῃ, καὶ διαχυτικὰ καὶ συστατικὰ εἰς τὴν φύσιν, γλυκέα. τὰς δὲ ὀσμὰς εἴδη μὲν οὐκ ἔχειν, ἀλλὰ τῷ λυπηρῷ καὶ ἡδεῖ διαφέρειν. εἶναι δὲ τὴν ὀσμὴν, ὕδατος μὲν λεπτότερον, ἀέρος δὲ παχύτερον. σημεῖον δὲ, ὅτι ὅταν ἐπιφράξαντές τις ἀνασπῶσιν ἄνευ ὀσμῆς τὸ πνεῦμα, εἰσέρχεται· διὸ καθάπερ καπνὸν καὶ ὀμίχλην εἶναι τῶν σωμάτων ἀόρατον. εἶναι δὲ καπνὸν μὲν, μεταβολὴν ἐξ ὕδατος εἰς ἀέρα, ὀμίχλην δὲ, τὴν ἐξ ἀέρος εἰς ὕδωρ. φωνὴν δὲ εἶναι, πληγὴν ὑπὸ ἀέρος ἐγκεφάλου καὶ αἵματος δι᾽ ὤτων μέχρι ψυχῆς· ὀξεῖαν δὲ καὶ βαρεῖαν, τὴν ταχεῖαν καὶ βραδεῖαν· συμφωνεῖν δ᾽ ὅταν ἡ ἀρχὴ τῆς βραδείας ὁμοία ᾖ τῇ τελευτῇ τῆς ταχείας. τὸ δὲ χρῶμα, φλόγα εἶναι ἀπὸ τῶν σωμάτων, σύμμετρα μόρια ἔχουσαν τῇ ὄψει. λευκὸν μὲν, τὸ διακριτικὸν, μέλαν δὲ, τὸ συγκριτικόν. ἀνάλογον δὲ τοῖς περὶ τὴν σάρκα θερμοῖς καὶ ψυχροῖς καὶ τοῖς περὶ τὴν γλῶτταν στρυφνοῖς καὶ δριμέσι· λαμπρὸν δὲ, τὸ ἀερῶδες, λευκόν· τὰ δὲ ἄλλα, ἐκ τούτων. ἐν οἷς δὲ λόγοις, οὐδέ τις εἰδείη, χρῶμαι λέγειν φησὶν ὧν οὐκ ἔχομεν εἰ κατὰ λόγον ἢ ἀναγκαῖον· οὐδ᾽ εἰ πειρωμένων μὴ γίγνοιτο οὐθὲν ἄτοπον, ἀλλὰ

τὸν θεὸν δύνασθαι τοῦτο δρᾶν. ἃ μὲν οὖν εἴρηκε καὶ πῶς ἀφώρικε, σχεδὸν ταῦτά ἐστιν. ἄτοπον δὲ καὶ τούτου, πρῶτον μὲν, τὸ μὴ πάντα ὁμοίως ἀποδοῦναι, μηδ' ὅσα τοῦ αὐτοῦ γένους. ὁρίσας γὰρ τὸ θερμὸν σχήματι, τὸ ψυχρὸν οὐχ ὡσαύτως ἀπέδωκεν. ἔπειτα μαλακὸν τὸ ὑπείκειν· φανερὸν ὅτι τὸ ὕδωρ καὶ ὁ ἀὴρ καὶ τὸ πῦρ, ἔστι μαλακά. φησὶ γὰρ ὑπείκειν τὸ μικρὰν ἔχον βάσιν. ὥστε τὸ πῦρ ἂν εἴη μαλακώτατον. δοκεῖ δὲ τούτων οὐθὲν οὐδ' ὅλως τὸ μὴ ἀντιμεθιστάμενον εἶναι μαλακόν, ἀλλὰ τὸ εἰς τὸ βάθος ὑπεῖκον ἄνευ μεταστάσεως. ἔστι δὲ τὸ βαρὺ καὶ κοῦφον, οὐχ ἁπλῶς. ἀλλ' ἐπὶ τῶν γεωδῶν ἀφώρικε. τούτων γὰρ δοκεῖ τὸ μὲν βαρὺ, χαλεπῶς· τὸ δὲ κοῦφον, ῥᾷον ἄγεσθαι πρὸς τὸν ἀλλότριον τόπον. τὸ δὲ πῦρ καὶ ὁ ἀὴρ, τῇ εἰς τοὺς οἰκείους τόπους φορᾷ, κοῦφα καὶ ἔστι καὶ δοκεῖ. διόπερ οὐκ ἔσται τὸ μὲν ἔλαττον τῶν ὁμογενῶν ἔχον, βαρὺ, τὸ δὲ πλεῖον, κοῦφον. τὸ μὲν γὰρ πῦρ ὅσον ἂν ᾖ πλεῖον, κουφότερον. ἀλλ' ἄνω μὲν τιθεμένου τοῦ πυρὸς, ἐφαρμόσουσιν οἱ λόγοι καὶ τὰ κἀκεῖνος, ἐνταῦθα δ' οὐδέτερος. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς γῆς. ἄνωθεν γὰρ δεῦρο, θᾶττον αἰσθήσεται τὸ πλέον. ὥστε οὐχ ἁπλῶς ἡ γῆ καὶ τὸ πῦρ ἐστὶ τὸ μὲν, βαρὺ, τὸ δὲ, κοῦφον, ἀλλ' ἑκάτερον πρὸς τὸν τόπον. οὐδ' ὁμοίως ἐνταῦθα καὶ τὸ γεῶδες, ἀλλ' ἀνάπαλιν· ἐνταῦθα μὲν, τὸ ἔλαττον. ἐκεῖ δὲ, τὸ πλέον ἔχον τῶν ὁμογενῶν, κουφότερον. ταῦτα δὲ πάντα συμπεραίνει διὰ τὸ μὴ ἁπλῶς περὶ κούφου καὶ βαρέος, ἀλλὰ περὶ τοῦ γεώδους ἀφορίζειν. τῶν δὲ χυλῶν τὰς μὲν φύσεις οὐ λέγει, τίς ἕκαστος, εἰ ἄρα τέσσαρες αἱ πᾶσαι διαφοραί, τὰ δὲ πάθη τὰ συμβαίνοντα ἀπ' αὐτῶν. δηλοῖ γὰρ συνάγειν καὶ τοὺς πόρους, τὸ στρυφνὸν ἢ στυπτικόν· καὶ καθαίρειν τὸ ἁλμυρὸν, ὅπερ πάθος ἐστὶν ἡμέτερον. ὁμοίως δὲ καὶ τὰ ἄλλα. ζητοῦμεν δὲ τὴν οὐσίαν μᾶλλον, καὶ διὰ τί ταῦτα δρῶσιν. ἐπεὶ τά γε πάθη θεωροῦμεν. ἀπορήσειε δ' ἄν τις καὶ περὶ τῶν ὀσμῶν, εἰ ἔστιν εἴδη. καὶ γὰρ τοῖς πάθεσι καὶ ταῖς ἡδοναῖς

διαφέρουσιν, ὥσπερ οἱ χυλοί. καὶ ἅμα δόξειεν ἂν ὁμοίως ἔχειν ἐπὶ πάντων. περὶ δὲ τῆς ὀσμῆς, ὅτι μὲν ἀπορροή τις ἐστὶ καὶ ἀνάπνευσις τοῦ ἀέρος, σχεδὸν ὁμολογεῖται· τὸ δὲ ἀφομοιοῦν καπνῷ καὶ ὁμίχλῃ, ταῦτα δὲ λέγειν, οὐκ ἀληθές. οὐδὲ γὰρ αὐτὸς φαίνεται ποιεῖν. τὸ μὲν γὰρ ἐξ ὕδατος εἰς ἀέρα, τὴν δὲ ὁμίχλην ἐξ ἀέρος εἰς ὕδωρ λέγει μεταβάλλειν. καίτοι δοκεῖ γ' ἀνάπαλιν ἔχειν ἐπὶ τῆς ὁμίχλης. διὸ καὶ παύεται τὰ ὕδατα, γινομένης ὁμίχλης. ἐνδεεστέρως καὶ ὁ τῆς φωνῆς εἴρηται λόγος. οὔτε γὰρ κοινῶς ἅπασι τοῖς ζώοις ἐστὶ, οὔτε τὴν αἰτίαν λέγει τῆς αἰσθήσεως βουλόμενος. ἔτι δὲ οὐ τὸν ψόφον καὶ τὴν φωνὴν, ἀλλὰ τὴν ἡμετέραν αἴσθησιν ἔοικεν ἀφορίζειν. περὶ δὲ χρωμάτων σχεδὸν ὁμοίως Ἐμπεδοκλεῖ λέγει. τὸ γὰρ σύμμετρα ἔχειν μόρια τῇ ὄψει, τὸ τοῖς πόροις ἐναρμόττειν ἐστίν. ἄτοπον δὲ τὸ μόνην ταύτην ἀποδιδόναι τῶν αἰσθήσεων. ἔτι δὲ τὸ, ἁπλῶς τὸ χρῶμα φλόγα λέγειν. τὸ μὲν γὰρ λευκὸν, ἔχει τινὰ ὁμοιότητα· τὸ δὲ μέλαν, ἐναντίον ἂν φανείη. τὴν δὲ τῶν ἄλλων μίξιν, τὸ ἀφαιρεῖν ὅλως οὐκ ἐνδέχεται ἀποδοῦναι ταῖς αἰτίαις, δεῖται δέ τινος λόγου καὶ πίστεως.

ΕΚ ΤΩΝ ΘΕΟΦΡΑΣΤΟΥ ἐκλογαί.

Ἐκ τοῦ περὶ τῶν μεταβαλλόντων τὰς χρόας.

Ἐκ τοῦ περὶ παραλύσεως.

Ἐκ τοῦ περὶ λειποψυχίας.

Ἐκ τοῦ περὶ ἰλίγγων.

Ἐκ τοῦ περὶ κόπων.

Ἐκ τοῦ περὶ τῶν ἀθρόως φαινομένων ζώων.

Ἐκ τοῦ περὶ τῶν λεγομένων ζώων φθονεῖν.

Ἐκ τοῦ περὶ ἱδρώτων.

Ἐκ τοῦ περὶ μελιττῶν.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΤΩΝ ΜΕΤΑΒΑΛλόντων τὰς χρόας.

¶ Ὅτι τὰς χρόας μεταβαλλόμενοι, καὶ ἐξομοιούμενοι φυτοῖς καὶ τόποις καὶ λίθοις εἰς ἃ ἂν πλησιάσωσι, πολύποις ἐστὶ, καὶ χαμαιλέων, καὶ τὸ θηρίον ὁ τάρανδος, ὃ ἐν Σκύθαις φασὶν ἢ Σαρμάταις γίνεσθαι. μεταβάλλει δὴ ὁ χαμαιλέων εἰς πάντα τὰ χρώματα· πλὴν τὴν εἰς τὸ λευκὸν καὶ τὸ ἐρυθρὸν οὐ δέχεται μεταβολήν. καὶ οὐ πρὸς τὰ παρακείμενα μόνον χρώματα μεταβάλλει, ἀλλὰ καὶ αὐτὸς καθ' ἑαυτὸν, ἐάν τις μόνον ἅψηται αὐτοῦ, τὸ χρῶμα μεταβάλλει. ὁ δὲ τάρανδος τὸ μὲν μέγεθός ἐστι κατὰ βοῦν, τὸ πρόσωπον δὲ ὅμοιος ἐλάφῳ· πλὴν πλατύτερος, ὡσανεὶ ἐκ δύο συγκείμενος ἐλαφείων προσώπων. δίχηλον δέ ἐστι καὶ κερασφόρον. ἔχει δὲ τὸ κέρας ἀποφυάδας ὥσπερ τὸ ἐλάφου, καὶ τριχωτὸν ἐστὶ δι' ὅλου. περὶ γὰρ τὸ ὅσου δέρματός ἐστιν ἐπίτασις, ὅθεν ἡ ἔκφυσις. τὸ δὲ δέρμα, τῷ πάχει δακτυλιαῖόν ἐστιν, ἰσχυρὸν δὲ σφόδρα. διὸ καὶ τοὺς θώρακας, αὐάζοντες αὐτὸ, ποιοῦνται. σπάνιον δὲ τὸ ζῷον καὶ ὀλιγάκις φαινόμενον. θαυμαστὴ δὴ ἡ μεταβολὴ καὶ ἐγγὺς ἀπιστίας. τοῖς μὲν γὰρ ἄλλοις ἐν τῷ δέρματι γίνεται ἡ μεταβολὴ, ἀλλοιουμένης τῆς ἐντὸς ὑγρότητος, ἔτι αἱματώδους,

ἢ καί τινος ἄλλης τοιαύτης οὔσης· ὥστε φανερὰ εἶναι τὴν συμπάθειαν. ἡ δὲ τῶν τειχῶν μεταβολὴ ξηρῶν τε ὄντων καὶ ἀπηρτημένων, καὶ ἀθρόον οὐ πεφυκότων διοικεῖσθαι, παράδοξος ἀληθῶς καὶ ἀπίθανος μάλιστα πρὸς πολλὰ ποικιλλομένη. ὁ δὲ πολύποις δοκεῖ τῷ πνεύματι ποιεῖν τὰς μεταβολάς· πνευματικὸν γὰρ φύσει. σημεῖον δὲ τὸ τοῦ πνεύμονος μέγεθος. σχεδὸν γὰρ δι' ὅλου τοῦ σώματος τέταται. ἅμα δὲ καὶ ἐξαιρόμενος αὐτὸς καὶ φυσώμενος δῆλός ἐστιν.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΓΑΡΑΛΥΣΕΩΣ.

¶ Ὅτι ὑπὸ καταψύξεως φησίν, ὡς κοινῷ λόγῳ φάναι, τὰς παραλύσεις γίνεσθαι. καὶ ταύτην οἱ μὲν ὑπὸ πνεύματος (πνευματικὸν γὰρ τὸ πάθος) οἱ δὲ ἐκλείψει καὶ στερήσει τοῦ πνεύματος. τοῦτο γὰρ εἶναι τὸ τὴν θερμότητα καὶ τὴν κίνησιν ὅλως ποιοῦν. ἀκινησίας δὲ γινομένης, κατάψυξις γίνεται τοῦ αἵματος ἢ ἁπλῶς εἰπεῖν τῆς ὑγρότητος. διὰ τοῦτο γὰρ καὶ ἡ νάρκη γίνεται ἐν τοῖς ποσίν, ἢ καὶ ἐν τοῖς ἄνω μέρεσιν, ὅταν ἀποπιεσθῶσιν ἀπὸ καθέδρας, ἢ ἄλλου τινὸς τρόπου. τότε γὰρ διαλαμβάνει τῇ πιέσει τὸ πνεῦμα, καὶ οὐ δυναμένην τὴν οἰκείαν κίνησιν κινεῖσθαι, ἵστησι καὶ ἀποψύχει τὸ αἷμα.

ΕΚ ΤΟΥ ΓΕΡΙ ΛΕΙΠΟΨΥΧΙΑΣ.

¶ Ὅτι ἡ λειποψυχία, στέρησις ἢ κατάψυξις τοῦ θερμοῦ περὶ τὸν ἀναπνευστικὸν τόπον. τοῦτο δὲ συμβαίνει ἢ ὑπὸ τοῦ ψύχους, ἢ καὶ ὑπ' αὐτοῦ τοῦ θερμοῦ. τὸ γὰρ πλέον πῦρ ἀφαιρεῖ τὸ ἔλαττον. μαρτυρεῖ δὲ καὶ ἡ πεῖρα· ὑπὸ γὰρ πνίγους, ἢ ἄλλως θέρμης, καὶ μάλιστα πολλῆς, ἀθρόον τούτων προσπεσόντων ἡμῖν, ἐκλυόμεθα καὶ λειποθυμοῦμεν. καταμαραίνεται γὰρ τὸ ἐν ἡμῖν κατάψυξιν οὐ λαμβάνον. τάχα δὲ καὶ τὴν ἀναπνοὴν ὅλως τὸ πνῖγος κωλύει. ὅθεν καὶ πνῖγος ὠνομάσθη. πνίγεται γὰρ ἢ καὶ πνιγομένῳ ὅμοιός ἐστιν ὁ μὴ δυνάμενος ἀναπνεῖν. μαρτυρεῖ δὲ καὶ ἡ διὰ τῶν λουτρῶν καὶ τῶν πυελάσεων ἔκλυσις. δῆλον γὰρ ὡς

γὰρ ὡς αἱ τοιαῦται ἐκλύσεις τῷ θερμῷ καὶ διὰ τὸ θερμὸν γίνονται, μαραινομένου τοῦ ἔξωθεν θερμοῦ τὸ ἐν ἡμῖν σύμφυτον. γίνεται δὲ λειποψυχία, καὶ τῶν ἐν οἷς πέφυκεν ἡ θερμότης, ἐκλειπόντων, οἷον αἵματος ἢ τῆς φυσικῆς ἁπλῶς ὑγρότητος· ὥσπερ ἐν ταῖς αἱμοῤῥαγίαις καὶ ἐν ταῖς τῆς γαστρὸς φοραῖς ὁρῶμεν λειποψυχοῦντας. καὶ διὰ πόνους δὲ γίνονται ἐκλύσεις. ¶Ὅτι τὸ πλέον θερμὸν λειποψυχίαν ποιεῖ, καὶ ὡς μαραῖνον τὸ ἔλαττον, καὶ ὡς κωλῦον τὴν ἀναπνοήν, καὶ ἔτι ὡς μὴ παραχωροῦν τῇ καταψύξει εἴσοδον. ¶Ὅτι διὰ τοῦτο ὡς ἐπιτοπολὺ λυόμενοι μὲν, οὐ λειποψυχοῦσι, παυσάμενοι δὲ, μᾶλλον, διότι τὴν ὑγρότητα τὴν γινομένην ἀπὸ τῆς συντήξεως, λυομένων μὲν, θερμὴν εἶναι συμβαίνει, λυσαμένων δὲ, ψύχεσθαι. ψυχρὰ δὲ οὖσα, καὶ ἐμπίπλουσα κυρίους τόπους, ποιεῖ λειποψυχίαν. εἰ μὴ ἄρα καὶ ἡ ἄνεσις αὐτὴ τοῦ πνεύματος παρεκλύει· διότι καὶ κατέχειν κελεύουσιν ἐν ταῖς λειποψυχίαις τὸ πνεῦμα. κωλύει γὰρ ὁ κατέχων, ἐξιέναι τὸ θερμόν· ὁ δ' ἀνιεὶς, ἐνδίδωσιν. ¶Ὅτι ὁ ῥαίνων ὕδατι τοὺς λειποψυχοῦντας, συμφράττων καὶ πυκνῶν τοὺς πόρους, καὶ συναθροίζων ἐντὸς τὸ θερμὸν, ἀντιπερίσταται. ¶Ὅτι ἡδοναὶ καὶ λῦπαι ποιοῦσι λειποψυχίαν· καὶ γὰρ ἀμφότεραι πλῆθος ὑγρότητος ἐπάγουσιν· ἡ μὲν ἡδονὴ, τῷ συντήκειν καὶ διαχεῖν· ἡ λύπη δὲ, τῷ πηγνύειν. ὅταν οὖν ἡ ὑγρότης ῥυῇ πρὸς τὸν πνευματικὸν τόπον, ποιεῖ λειποψυχεῖν.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΙΛΙΓΓΩΝ.

¶Ὅτι οἱ ἴλιγγοι γίνονται ὅταν πνεῦμα ἀλλότριον εἰς τὴν κεφαλὴν ἔλθῃ, ἢ ὑγρότης περιττωματικὴ, ἢ ἀπό τινος τροφῆς, ὡς ἀπὸ τοῦ οἴνου, ἢ ἀπό τινος ἄλλου χυμοῦ. ἔτι δὲ καὶ ὅταν τις κινῇ τὴν κεφαλὴν κύκλῳ. ὁ γὰρ τόπος ὁ περὶ τὸν ἐγκέφαλον ὑγρὸς ὢν, ὅταν δέξηταί τι πλέον ἀλλότριον, τὸ δὲ βιάζηται διαδυόμενον πρὸς τὰς φλέβας, ὤθει κύκλῳ τὸ προϋπάρχον ὑγρόν. οὔσης δὲ οἷον δίνης τῆς φορᾶς, καὶ τοῦ ὑγροῦ μὴ

συνεχοῦς, ὅμως ἐν τῇ κινήσει, τοῦ μὲν προσλαμβάνοντος, τοῦ δὲ ὑστεροῦντος, διὰ τὸ μὴ ἰσορροπεῖν ὁμοίως, τὸν ἴλιγγον ποιεῖ καὶ καταβάλλει πολλάκις. ¶ Ὅτι τὰ ὠμὰ ὠὰ διὰ τοῦτο οὐ περιδινεῖται, ὥσπερ τὰ ἑφθά, διότι τὰ μὲν ὑπὸ ὑγρότητος ἀνωμάλου καὶ οὐκ ἰσορρόπου οὔσης σφάλλεται, τὰ δέ, διὰ τὸ μὴ ἔχειν τὸ σφάλλον, ὑφιστάμενον, ἑνὸς ὄντος καὶ συνεχοῦς τοῦ ἐντός. ἐκ δὲ τῆς αὐτῆς θεωρίας ἐπιλύεται καὶ τὸ διὰ τί κύκλῳ περιπατοῦντες ἰλιγγιῶσι· καὶ ὅτι μᾶλλον ἐὰν ἐν ἐλάττονι κύκλῳ, καὶ ἔτι, ἐὰν θᾶττον θέωσι· καὶ ἔτι, εἰ μετὰ πολλῶν, μᾶλλον ἢ μόνοι. καὶ διὰ τί, ἐπ' ἀριστερὰ θέοντες, μᾶλλον ἢ ἐπὶ δεξιά. πάντων γὰρ τούτων καὶ τῶν ὁμοίων προείρηται ἡ αἰτία. εἰ γὰρ ὁ ἴλιγγος γίνεται ἐάν τις ἐν τῷ αὐτῷ στρέφῃ τὴν κεφαλήν, δῆλον ὡς εἴ τις ἐγγὺς τούτου στρέφοιτο, τάχιστα καὶ μάλιστα τῶν ἄλλων ἰλιγγιῴη. ἐγγυτάτω δέ, ὁ ἐν βραχεῖ κύκλῳ στρέφων τὴν κεφαλήν. καὶ ὅσον ἂν θᾶττον, μᾶλλον, διόπερ καὶ οἱ θέοντες, τῶν περιπατούντων μᾶλλον ἰλιγγιῶσι· καὶ οἱ ταχέως, τῶν βραδέως· θέουσι γὰρ ἐγκεκλικότες πρὸς τὸ κέντρον· μᾶλλον ἰλιγγιῶσιν. οἱ δ' ἐπ' ἀριστερὰ θέοντες, τῶν ἐπὶ δεξιὰ μᾶλλον, διότι ὀξυτέραν γωνίαν ποιοῦσι πρὸς τὸν κύκλον. ἐμβριθέστερα γὰρ ὄντα τὰ δεξιὰ προσβιάζεται μᾶλλον αὐτοὺς διὰ τὴν ἀσθένειαν τῶν ἀριστερῶν. καὶ εἰ μετὰ πολλῶν θέουσι, μᾶλλον ἢ μόνοι, διότι πρὸς τῇ κύκλῳ περιφορᾷ, καὶ ἡ ὄψις προσβάλλουσα τοῖς θέουσι μὴ συνεχὴς οὖσα, ποιεῖ τινα κίνησιν ἐν τῷ ἐγκεφάλῳ καὶ ταραχήν. διότι ἰλιγγιῶσι μᾶλλον, διὰ τὸ διπλοῦν τὸν ἐγκέφαλον ὑφίστασθαι κίνησιν, τήν τ' ἀπὸ τῆς περιδινήσεως καὶ ἣν ἡ ὄψις παθοῦσα, τῷ ἐγκεφάλῳ παρέπεμψεν. ὅτι δὲ διὰ τὴν τῆς ὄψεως κίνησιν ἰλιγγιῶσι πολλάκις, φανερὸν ἐκ πολλῶν. οἵ τε γὰρ πλέοντες, θᾶττον καὶ μᾶλλον ἰλιγγιῶσιν, ἐπειδὰν τοῖς κύμασιν ἐμβλέψωσιν, καὶ οἱ τὰς αἰώρας καὶ τοὺς τροχοὺς θεω-

ῥοιῶντες, ταχὺ σκοτοδινιῶνται. ἰλιγγιῶσι δὲ καὶ οἱ πρὸς τὰ ὑψηλὰ καὶ μεγάλα καὶ ἀπότομα ἀποβλέποντες, διὰ τὸ συμβαίνειν μακρὰν τεινομένην σείεσθαι καὶ κραδαίνεσθαι τὴν ὄψιν. σειομένη δὲ καὶ κραδαινομένη, ταράττει καὶ κινεῖ τὰ ἐντός. τοῖς δ᾽ ἄνω βλέπουσιν οὐ συμβαίνει τὸ πάθος, διὰ τὸ μὴ ἀποτείνειν μακρὰν, ἀλλ᾽ ἀποτέμνεσθαι τῷ φωτί. γίνονται ἴλιγγοι καὶ ὅταν βλέπωσι συνεχῶς καὶ ἐνατενίζωσιν. διὸ καὶ διαπορεῖται τί δήποτε κύκλῳ κινουμένης τῆς ὄψεως καὶ ἠρεμούσης, τὸ αὐτὸ πάθος συμβαίνει. τὸ δ᾽ αἴτιον τῆς μὲν κύκλῳ φορᾶς εἴρηται· διὰ τί δὲ ἐν τῇ ἐπιστάσει καὶ τῷ ἀτενισμῷ τὸ αὐτὸ συμβαίνει πάθος, διότι τὰ ἐν τῇ κινήσει σωζόμενα ἡ στάσις διΐστησι. στάσης οὖν τῆς ὄψεως, καὶ τὰ ἄλλα συνεχῆ τὰ ἐν τῷ ἐγκεφάλῳ ἵσταται· ἱστάμενα δὲ, καὶ συνίσταται καὶ χωρίζεται τὰ βαρέα, καὶ καταβαρύνει· καὶ ποιεῖ τὸν ἴλιγγον. καὶ ἡ κύκλῳ φορὰ δὲ διΐστησι τὰ βαρέα καὶ τὰ κοῦφα. ποιεῖ δὲ καὶ τὸ κύπτειν, ἰλίγγους. καὶ γὰρ ἐν τῷ κύπτειν χωρίζεται τὰ βαρέα καὶ τὰ ἐλαφρὰ, τὰ μὲν, ἄνω, τὰ δὲ, κάτω. δεῖ δὲ ἅμα εἶναι, καθάπερ ἐλέχθη. ποιεῖ δὲ τὸ πάθος καὶ πλησμονὴ καὶ ἔνδεια· ἡ μὲν ἔνδεια, σύντηξιν, ἡ δὲ πλησμονὴ περίπλωσιν ποιοῦσα· ὥστε πλήρεις γίνεσθαι τοὺς πόρους. ἀνιοῦσα γὰρ παρ᾽ αὐτὰ καὶ καταβαίνει, καὶ διΐστησι τὰς περιόδους. ὅπερ ἐστιν ἴλιγγος. ¶Ὅτι καὶ αἱ μέθαι καὶ αἱ φαρμακεῖαι καὶ τὰ παραπλήσια ποιοῦσιν ἰλίγγους. ἡ γὰρ ὑγρότης ἡ ἀθρόως ἐμπίπλουσα, ποιεῖ τὴν ταραχήν. ¶Ὅτι ἀνιστάμενοι μᾶλλον ἢ καθίζοντες ἰλιγγιῶσι. διότι ἠρεμούντων μὲν συνίσταται τὸ ὑγρὸν ἐν τῇ κεφαλῇ πλέον· ὅταν δὲ κινῶνται, διΐσταται, καὶ εἰς ἓν μόριον ἐμπίπτον ποιεῖ τὸν ἴλιγγον.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΚΟΠΩΝ.

¶Ὅτι καταβαίνοντες μὲν τόπον κάταντη, τοὺς μηροὺς μάλιστα πονοῦσιν, ἀναβαίνοντες δὲ, τὰς κνήμας. διότι κατὰ μὲν

τὴν ἀνάβασιν, ὁ πόνος τοῦ αἴρειν φορτίον τὸ σῶμα γίνεται. ᾧ οὖν ἐπίκειται τὸ βάρος καὶ ᾧ αἴρεται, τούτῳ μάλιστα ὁ πόνος. ἐν δὲ τῷ καταβαίνειν ὁ πόνος ἐν τῷ ἐμπίπτειν γίνεται τὸ σῶμα, καὶ παρωθεῖν παρὰ φύσιν. ὥστε οὖν ᾧ μάλιστα ἐμπίπτει καὶ σαλεύει, τούτῳ μάλιστα καὶ τὸν πόνον ἐμποιεῖ. ὡς οὖν ἡ κνήμη μᾶλλον ἐν τῷ καταβαίνειν κακοπαθεῖ, οὕτως ὁ μηρὸς ἐν τῷ ἀναβαίνειν. διότι δὲ τὰ βάρη κάτω φέρεται, χαλεπώτερον τὸ ἀναβαίνειν τοῦ καταβαίνειν. ¶Ὅτι κοπιαρώτερον τῷ βραχίονι διὰ κενῆς ῥίπτειν ἢ λίθον ἢ ἄλλο τι βάρος, διότι σπασματωδέστερον. οὐ γὰρ ἀπερείδεται, καθάπερ ὁ βάλλων, πρὸς τὸν ἐν τῇ χειρὶ ὄγκον. ¶Ὅτι οἱ ὁμαλοὶ περίπατοι, τῶν ἀνωμάλων κοπιαρώτεροι, διότι ἡ πολλὴ κίνησις ποιεῖ κόπον· πολλὴ δὲ ἡ συνεχὴς καὶ μία. αἱ δὲ ἀνώμαλοι, κατὰ τὰς μεταβολὰς ποιοῦσιν ἀνάπαυσιν· ἐν δὲ τοῖς ὁμαλοῖς, ἡ ὁμοιότης τοῦ σχήματος ἀπεργάζεται συνεχῆ τὴν κίνησιν. ¶Ὅτι ἐξονειρωκτικοὶ οἱ κοπιῶντες, διότι θερμὰ καὶ κάθυγρα τὰ σώματα γίνεται, διὰ τὴν σύντηξιν· ἡ δὲ τοιαύτη διάθεσις, σπερματική. ¶Ὅτι καὶ ὕπτιοι κατάκεινται, διὰ τὴν ἔκλυσιν. συνεργεῖ δὲ τὸ σχῆμα τοῦτο καὶ πρὸς τοὺς ἐξονειρωγμούς. ¶Ὅτι τὰ ὑγρὰ σώματα κοπιαρώτερα τῶν σκληρῶν, διότι ἀσθενέστερα· εἰ καὶ ἄλλον τρόπον τὰ σκληρὰ ἀθραυέστερα.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΤΩΝ ΑΘΡΟΟΝ φαινομένων ζώων.

¶Ὅτι τῶν ἀθρόον φαινομένων ζώων, οὐχ ἡ αὐτὴ πάντων αἰτία· ἀλλὰ τῶν μὲν καὶ ἡ γένεσις εὐθὺς φανερά, ὥσπερ τῶν μυῶν, αἳ ἐν τοῖς στρατοπέδοις καὶ ἐν ταῖς πανηγύρεσι, καὶ μετὰ τὸ παρελθεῖν αὐτά, ἔτι μᾶλλον γίνονται. τούτων γὰρ ἤτοι κόπρος αἰτία, καὶ ἡ τῶν ἄλλων σῆψις. ἄλλα δὲ προϋπάρχει μὲν καὶ ἐκφαίνεται, διὰ τοὺς ὑετοὺς μέν, ὥσπερ οἵ τε κοχλίαι καὶ οἱ μικροὶ βάτραχοι. οὐ γὰρ ὕονται, ὡς τινες ᾠήθησαν, ἀλλὰ προφαί-

γονται μόνον, κατὰ γῆς ὄντα πρότερον, διὰ τὸ εἰσρεῖν τὸ ὕδωρ εἰς τὰς θαλάμας αὐτῶν. ἄλλο δὲ γένος ἐστὶ τοῦτο βατραχίων παρὰ τὸ ἐν ταῖς λίμναις καὶ τοῖς τέλμασι. τὸ δὲ πλῆθος καὶ τούτων καὶ τῶν ἄλλων, ὅταν εὐθηνήσωσιν. ¶ Οἱ μᾶλλον μετὰ τὰς διαλύσεις καὶ τῶν πανηγύρεων καὶ τῶν στρατοπέδων, ἢ ἐπισυνισταμένων, αἱ μυῖαι γίνονται. συμβαίνει γάρ, παρόντων μὲν, διὰ τὰς καθημερινὰς χρείας καὶ κινήσεις, φθείρεσθαι τὰς γενέσεις αὐτῶν, κινήσεως ἀεὶ καὶ μεταβολῆς γινομένης, ὡς ἐν τοῖς ἄλλοις τε ἐν αὐτοῖς τοῖς καθάρμασιν ἐκβαλλομέναις αὐτῶν· ὅταν δὲ διαλυθῶσιν, ἡσυχίας γινομένης, ταχὺ συμπλεῖται, διὰ τὸ μὴ ὑπ᾽ οὐδενὸς κωλύεσθαι, μέχρις ἂν ξηρανθῇ τὸ ἐν τοῖς καθάρμασιν ὑγρόν. ἡ μὲν οὖν τῶν μυιῶν γένεσις ταχεῖαν καὶ πολλήν, ὡς εἴρηται, τὴν γένεσιν λαμβάνει. Οἱ δὲ ἀττέλεβοι καὶ αἱ ἀκρίδες πανταχοῦ μέν εἰσιν, ὡς εἰπεῖν, πληθύνεται δὲ ταῦτα παρὰ τοὺς τόπους οἰκείους λαμβάνειν, καὶ παρὰ τὸ μὴ διαφθείρεσθαι αὐτῶν τὰ ᾠά. ὃ συμβαίνει διὰ τὴν ἀργίαν τῆς χώρας· ἐν γὰρ τῇ γεωργουμένῃ ἀπόλλυνται. διὸ καὶ ἐκ τῆς ἐρήμου καὶ ἀργούσης καταφέρονται πρὸς τὴν οἰκουμένην καὶ ἐργάσιμον. ἐγχρονίζουσι δὲ ἢ διὰ τὸ περιέχεσθαι τὸ χωρίον ὄρεσιν ὑψηλοῖς, καὶ ὑπεράραι ταῦτα μὴ δύνασθαι· ἢ διὰ τὸ ἐπιτήδειον τῆς χώρας. τοιαύτη δέ ἐστιν ἥ τε μαλακὴ καὶ νοτίδα ἔχουσα, καὶ δροσοβόλος. χαλεπαὶ μὲν οὖν καὶ αἱ ἀκρίδες, χαλεπώτεροι δὲ οἱ ἀττέλεβοι, καὶ τούτων μάλιστα οὓς καλοῦσι βαρούχους. ἡ δὲ γένεσις αὐτῶν, ἐξ ἀλλήλων. τινὲς δὲ οἴονται, οὐκ ἀκριβεῖ σημείῳ τῷ χρώματι παραπλησίως εἶναί αὐτῶν ἔχειν τοῖς ἐν τῇ χώρᾳ. ὅτι καὶ αὐτόματος. δῆλον γὰρ ὅτι τὸ τοιοῦτον ἀπὸ τῆς τροφῆς ἀλλ᾽ οὐκ ἀπὸ τῆς γενέσεως προσλαμβάνουσιν. ἡ δὲ φθορὰ τούτων, ἡ μέν ἐστιν ἐπιφοιτική τις καὶ λοιμώδης· ὑπὸ κύνα γὰρ οἰστρᾷ καὶ ἐγγίνεταί τι σκωλήκιον ἐν τῇ κεφαλῇ, καὶ φθείρεται· ἡ δὲ, ἐν τῇ μετακινήσει τε τῇ πτήσει. ὅταν γὰρ ἀρθῶσιν, ὑπὸ τῶν ἀνέ-

μοὶ καταφέρονται εἰς τὴν θάλασσαν, καὶ φθείρονται. φθείρονται δὲ καὶ διὰ χειμῶνα καὶ ψῦχος καὶ αὐτὰ καὶ τὰ ᾠὰ αὐτῶν. φθείρονται δὲ καὶ ἐκ μηχανῆς ἀνθρώπων. τάφρους γὰρ ποιοῦντες, συνελαύνουσιν αὐτὰ εἰς αὐτούς, καὶ καταχωννύντες διαφθείρουσιν. ¶Ὅτι τῶν ὄφεων δύσλυτα τῆς γενέσεως αἴτιά ἐστιν· ἢ γὰρ ἀὴρ ἔπομβρος, ἢ πόλεμοι καὶ χύσεις αἱμάτων. ὃ σχεδὸν καὶ τῶν ἄλλων θηρίων τῆς γενέσεως αἴτιον. ἐξ οὗ ποτὲ καὶ περὶ Θετταλίαν πλῆθος ὄφεων ἱστοροῦσι γενέσθαι. ¶Ὅτι καὶ οἱ μῦες ἐν ταῖς ἀρούραις ἀθρόοι γίνονται, καὶ ἐν τοῖς αὐχμοῖς μᾶλλον ἢ ἐν ταῖς ἐπομβρίαις. πολέμιον γὰρ αὐτοῖς τὰ ὕδατα. πολύγονον δὲ τὸ ζῷον. ἀπόλλυται δὲ τῇ μὲν ἐμφανεῖ καὶ ἔξωθεν φθορᾷ, διὰ πλῆθος ὑδάτων. ὅτε γὰρ καὶ ἔξω χειμάζει, καὶ εἰς τὰς μυωπίας παρεισρεῖ. φθείρουσι δ' αὐτοὺς καὶ αἱ ἄγριαι γαλαῖ. ἔστι δὲ τις αὐτῶν καὶ ἀφανὴς καὶ ἀθρόα φθορά, καθάπερ τις ἐπισυμβαίνουσα λοιμώδης. τίκτεται γὰρ καὶ τούτων ἐν τῇ κεφαλῇ σκώληξ, καὶ φθείρονται. ὃ καὶ οἱ ἔμπειροι ἐπισκοποῦντες, ἐπὰν ἴδωσι, τὴν φθορὰν αὐτῶν προγνοῦσι καὶ προαγγέλλουσιν. ¶Ὅτι οἱ μῦες ἱστοροῦνται καὶ σίδηρον κατεσθίειν καὶ χρυσίον, διὸ καὶ ἀνατέμνοντες αὐτοὺς οἱ ἐν τοῖς χρυσείοις, τὸ χρυσίον ἀνιμῶνται. ¶Ὅτι ἐν Αἰγύπτῳ δίποδας φασὶ μύας γίνεσθαι καὶ μεγάλους. ἔχουσι δὲ οὗτοι καὶ τοὺς ἐμπροσθίους πόδας, ἀλλ' οὐ βαδίζουσιν ἐπ' αὐτοῖς, χρῶνται δὲ αὐτοῖς οἷα χερσίν. ὅταν δὲ φεύγωσι, πηδῶσιν.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΤΩΝ ΛΕΓΟΜΕΝΩΝ ζῴων φθονεῖν.

¶Ὅτι ὁ γαλεώτης, φασί, φθονῶν τῆς ὠφελείας τοῖς ἀνθρώποις, καταπίνει τὸ δέρμα, ὅταν ἐκδύηται· ἔστι γὰρ βοήθημα ἐπιλήπτῳ. καὶ ὁ ἔλαφος τὸ δεξιὸν κατορύττει κέρας, πρός τε τὰ τῆς φρυνῆς φάρμακα καὶ πρὸς ἄλλα πολλὰ χρήσιμον. καὶ ἡ ἵππος ἀπεσθίει τῶν πώλων τὸ ἱππομανές, καὶ γὰρ τοῦτο πρός ἔνια χρήσιμον. καὶ ἡ φώκη ὅταν μέλλῃ ἁλίσκεσθαι, ἐξεμεῖ τὴν πιτύαν, χρησιμεύουσαν καὶ ταύτην τοῖς ἐπιλήπτοις. καὶ ὁ

χερσαῖος ἐχῖνος ἐνουρεῖ τῷ δέρματι καὶ διαφθείρει. καὶ ἡ λύγξ κατακρύπτει τὸ οὖρον, ὅτι πρὸς τὰς σφραγῖδας καὶ πρὸς ἄλλας χρείας ἐπιτήδειον. ἀλλ᾽ ὅτι μὲν οὐ διὰ φθόνον ταῦτα ποιεῖ τὰ ζῶα, ἀλλ᾽ οἱ ἄνθρωποι ἐκ τῆς ἰδίας ὑπολήψεως ταύτην αὐτοῖς προσῆψαν τὴν αἰτίαν, παντὶ δῆλον. πόθεν γὰρ τοῖς ἀλόγοις ἡ τοσαύτη σοφία ἣν καὶ λογικοὶ μετὰ συχνῆς μελέτης μανθάνουσιν; ἀλλ᾽ ἡ μὲν φώκη, διὰ τὸν φόβον ἴσως ταραττομένη, ἐμεῖ τὴν πιτύαν. καὶ ὁ γαλεώτης καταπίνει τὸ δέρμα, φυσικόν τι παθὼν πάθος, καθάπερ οἱ κύνες τε αἱ ὗες σχεδὸν καὶ τὰ τετράποδα πάντα· κατεσθίει γὰρ τὰ χόρια μετὰ τοὺς τόκους. καὶ ὁ ἐχῖνος δὲ διὰ φόβον ἢ δι᾽ ἄλλο τι πάθος φυσικὸν ἐνουρεῖ, ἀλλ᾽ οὐχ ἵνα φθείρῃ τὸ δέρμα. πολλὰ δὲ καὶ ἄλλα πράττεται τοῖς ἀλόγοις, ὧν οὐκ ἔχομεν λόγον ἀποδοῦναι. οἷον, διὰ τί ἡ ὄρνις, ὅταν τέκῃ, περιρρίπτει τὰ κάρφη. διὰ τί οἱ κύνες ἐπαίροντες τὰ σκέλη, προσουροῦσι. διὰ τί ἡ αἴξ, ὅταν λάβῃ τὸ ἠρύγγιον εἰς τὸ στόμα, μένει, καὶ τὰς ἄλλας ἵστασθαι ποιεῖ. τό τε τῆς λυγγὸς οὖν καὶ τὸ τῆς ἐλάφου ὁ αὐτὸς κατάλογος περιέξει.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΙΔΡΩΤΩΝ.

¶Ὅτι ἁλμυρὸς γίνεται ὁ ἱδρὼς, διότι τὸ ἀλλότριον ἐκκρίνεται τῇ προσφύσει τῆς σαρκὸς, ἐξανηλωμένου τοῦ γλυκυτάτου καὶ κουφοτάτου. τὸ γὰρ τοιοῦτον περίττωμα ἐν μὲν τῇ κατὰ τὴν κύστιν ὑποστάσει οὖρον, ἐν δὲ τῇ σαρκὶ ἱδρὼς καλεῖται. ἐκκρίνεται δὲ ὁ ἱδρὼς διὰ κίνησιν ἢ πόνον, ἢ διὰ τὴν τοῦ θερμοῦ καὶ τοῦ πνεύματος δύναμιν. ¶Ὅτι ὁ ἱδρὼς ἁλμυρὸς ὤν, προσλαμβάνει ὀξύτητα, ἢ πικρότητα, ἢ δυσωδίαν ἢ εὐωδίαν, διὰ πολλὰς καὶ διαφόρους αἰτίας. ¶Ὅτι οἱ παῖδες τῶν ἀνδρῶν μᾶλλον δυσίδρωτοι, καὶ μάλιστα τὰ παιδία, καίτοι τὴν φύσιν ὄντα θερμὰ καὶ ὑγρὰ, ἐξ ὧν ἡ τῶν ἱδρώτων γένεσις· διότι πυκνότατοι τῶν παίδων οἱ χρῶτες.

καὶ ὥσπερ συγκεκλεισμένοι. ἔτι δὲ ἡ θερμότης ἐπικρατοῦσα, πέττει διὰ τὴν αὔξησιν· ἐὰν δέ τι καὶ γίνηται περίττωμα, τοῦτο ἐκκρίνεται κατὰ τὴν κοιλίαν. εὔρους γὰρ ὡς ἐπίπαν ἡ τῶν παιδίων· οἱ δὲ γέροντες, μανόχροες μὲν, ἀλλὰ ξηροί· δεῖ δὲ τῷ ἱδρῶτι καθάπερ ὕλην ὑπάρχειν τὸ ὑγρόν. ἄλλως τε καὶ αὐτὸ τὸ εὔπνουν καὶ μανὸν ἱκανὴν τὴν ἔκκρισιν ποιεῖ, καὶ τῷ συνεχῶς γίνεσθαι καὶ τῷ μὴ πολλὰ ἐνυπάρχειν τὰ ὑγρά. διὰ ταῦτα καὶ ὧν αἱ κοιλίαι ὑγραὶ ἢ εἰς κύστιν ἡ ἐπιρροὴ τοῦ περιττώματος, οὐκ ἀνίδρωτες· διότι πᾶν τὸ ὑγρὸν ἐνταῦθα ὥρμησεν. ¶ Ὅτι οἱ μὴ πέψαντες τὰ σιτία, καὶ οἱ ἀγρυπνήσαντες, ἀνίδρωτες· διότι ἡ πέψις μειοῖ τὴν ὑγρότητα, καὶ ὁ ὕπνος πέττει. ¶ Ὅτι οἱ γυμναζόμενοι καὶ εὖ ἔχοντες, ἀνίδρωτες μᾶλλον τῶν ἀγυμνάστων. ¶ Ὅτι καὶ οἱ πεπεμμένην ἢ οἱ ἄπεπτον ἔχοντες τὴν τροφὴν, ἀνίδρωτες. καίτοι δόξει ἄτοπον εἶναι· οὐκ ἔστι δέ. οἱ μὲν γὰρ γεγυμνασμένοι, τῷ μανὰ τὰ σώματα ἔχειν καὶ γεγυμνασμένους τοὺς πόρους, καὶ τῷ συνήθεις εἶναι πρὸς τοὺς ἱδρῶτας, ἀνίδρωτες· τῶν δὲ μεμύκασιν οἱ πόροι, διὰ τὸ μὴ χρῆσθαι. οἱ δὲ μὴ πεπεμμένην ἔχοντες τὴν τροφὴν, τῷ πλήθει τῆς ὑγρότητος, ἀνίδρωτες· οἱ δὲ πεπεμμένην, τῷ τὴν ὑγρότητα διακεκρίσθαι τῇ πέψει τοῦ ἄλλου χυλοῦ, ῥᾳδίαν ἔχουσι τὴν ἐξόρμησιν. ¶ Ὅτι οὐ πονοῦντες, ἀλλ' ὅταν παύωνται, μᾶλλον ἱδροῦσιν· οὐδὲ συντείνοντες οὐδὲ κατέχοντες τὸ πνεῦμα, ἀλλ' ὅταν ἀνῶσι. διότι πονούντων μὲν ὑπὸ τοῦ πνεύματος αἱ φλέβες ἐμφυσώμεναι, συμμύειν ποιοῦσι τοὺς πόρους· ὥστε δι' ἀρυτέρων μᾶλλον ἐξέρχεται τὸ ὑγρόν. καὶ ἡ κάθεξις δὲ τοῦ πνεύματος πληροῖ τὰς φλέβας, ὥστε κωλύειν διιέναι. ¶ Ὅτι μετὰ τοὺς πόνους καὶ τοὺς δρόμους οἱ ἐν σκιᾷ μᾶλλον καθεζόμενοι ἱδροῦσιν, ἤπερ οἱ ἐν τῷ ἡλίῳ· διότι ὁ ἥλιος ἀναξηραίνει καὶ πυκνοῖ τοὺς πόρους. ¶ Ὅτι τοὺς πόδας οἱ τῷ ὕδατι ἐμβάλλοντες, οὐχ ἱδροῦσι, διότι τὸ ὕδωρ κωλύει τὴν τῆξιν. ὁ δὲ ἱδρὼς, τῆξίς ἐστι τῆς κακῶς περισσω-

κοσμημένων ταῖς σαρξίν, ὅταν ἐκκρίνηται διὰ τὸ θερμόν. ¶ Ὅτι τὸ γυμνάσιον ἐὰν γίνηται συνεχῶς, ἀναξηραίνει καθάπερ ὁ ἥλιος· διὸ ἧττον ἱδροῦσιν. ¶ Ὅτι τὸ μέτωπον περὶ τὸ καὶ μάλιστα ἱδροῦσι, διὰ τὸ ὑπὸ τὸν ἐγκέφαλον εἶναι ὑγρὸν ὄντα. καὶ ἡ κεφαλὴ δὲ μάλιστα ἱδροῖ, διὰ τὸ μανόν· σημεῖον δὲ αἱ τρίχες· καὶ διότι τοῦ πνεύματος ἡ κάθεξις διαπίνεταί πως εἰς τὴν κεφαλήν. ¶ Ὅτι οἱ ἀγωνιῶντες, τοὺς πόδας ἱδροῦσι, τὸ δὲ πρόσωπον οὔ· διότι ἡ ἀγωνία, οὐ μετάστασις θερμότητος, ἀλλ' αὔξησις, καθάπερ ὁ θυμός. διὸ τὸ μὲν πρόσωπον ἐξέρυθροι γίνονται, καὶ οὐχ ἱδροῦσι, διὰ τὸ μᾶλλον ἐκθερμαίνεσθαι. ξηραίνει γὰρ ἡ θερμότης ἐπιπολάζουσα. τὸ δ' ἐν τοῖς ποσὶ συντήκει, διὰ τὸ ἐλάττων εἶναι ὥστε ξηρᾶναι, πλείων δὲ τῆς ἐμφύτου καὶ προϋπαρχούσης. ¶ Ὅτι ἐν τοῖς ὕπνοις μᾶλλον οἱ ἱδρῶτες ἢ κατὰ τὴν ἐγρήγορσιν· διότι καὶ τὰ ὑγρὰ καὶ τὰ θερμὰ μᾶλλον διὰ τὴν ἀντιπερίστασιν· ἐξ ἀμφοῖν δὲ τούτων, ὁ ἱδρώς.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΜΕΛΙΤΤΩΝ.

¶ Ὅτι αἱ τοῦ μέλιτος γενέσεις, τριτταί· ἡ ἀπὸ τῶν ἀνθῶν, καὶ ἐν οἷς ἄλλοις ἔστιν ἡ γλυκύτης· ἄλλη δ' ἐκ τοῦ ἀέρος, ὅταν ἀναχυθὲν ὑγρὸν ὑπὸ τοῦ ἡλίου συνεψηθὲν πέσῃ· γίνεται δὲ τοῦτο μάλιστα ὑπὸ πυραμητόν· ἄλλη δὲ ἐν τοῖς καλάμοις. τίκτει δὲ τὸ ἐκ τοῦ ἀέρος μέλι καὶ ἐπὶ τὴν γῆν καὶ ἐπὶ τὰ προστυχόντα τῶν φυτῶν. εὑρίσκεται δὲ μάλιστα ἐπὶ τοῖς φύλλοις τῆς δρυὸς καὶ ἐπὶ τῆς φιλύρας, διότι πυκνότητα ἔχει ταῦτα καὶ ἔνικμά ἐστι. δεῖ δὲ μηδὲ τελείως εἶναι ξηρά, ἵνα μὴ εἰς αὐτὸ ἤχῃ· μήτε μανά, ἵνα μὴ διῇ. ταῦτα δὲ καὶ ἔνικμα καὶ πυκνότητα ἔχει· τὸ δὲ τῆς φιλύρας, καὶ γλυκύτητα. ἔχει δέ πως ἡ μέλιττα οἰκείωσίν τινα πρὸς τὴν δρῦν.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ
περὶ ἀτόμων γραμμῶν.

A ΑΡΑ γε εἰσὶν ἄτομοι γραμμαί, καὶ ὅλως ἐν ἅπασι τοῖς ποσοῖς ἐστί τι ἀμερές, ὥσπερ ἔνιοί φασιν; εἰ γὰρ ὁμοίως ὑπάρχει τὸ, τὸ ὀλίγον καὶ τὸ μικρόν, τὸ δ' ἀπείρους ἔχον σχεδὸν διαιρέσεις, οὐκ ἔστιν ὀλίγον, ἀλλὰ πολὺ καὶ μέγα, τὰ ἀντικείμενα τούτων· τότε φανερὸν ὅτι πεπερασμένας ἕξει τὰς διαιρέσεις τὸ ὀλίγον καὶ τὸ μικρόν. εἰ δὲ πεπερασμέναι αἱ διαιρέσεις, ἀνάγκη τι εἶναι ἀμερὲς μέγεθος. ὥστε ἐν ἅπασιν ἐνυπάρξει τι ἀμερές, ἐπείπερ καὶ τὸ ὀλίγον καὶ τὸ μικρόν. ἔτι, εἰ ἰδέα γραμμῆς, ἡ δὲ ἰδέα πρώτη τῶν συνωνύμων, τὰ δὲ μέρη πρότερα τοῦ ὅλου τὴν φύσιν, διαιρετὴ ἂν εἴη αὐτὴ ἡ γραμμή· τὸν αὐτὸν δὲ τρόπον καὶ τὸ τετράγωνον, καὶ τὸ τρίγωνον, καὶ τὰ ἄλλα σχήματα, καὶ ὅλως ἐπίπεδον αὐτὸ καὶ σῶμα. συμβήσεται γὰρ πρότερα ἄττα εἶναι τούτων. ἔτι, εἰ σώματα, ἔσται στοιχεῖα, τῶν δὲ στοιχείων μηδὲν πρότερον, τὰ δὲ μέρη τοῦ ὅλου πρότερα· ἀδιαίρετον ἂν εἴη τὸ πῦρ, καὶ ὅλως τῶν τοῦ σώματος στοιχείων ἕκαστον. ὥστε οὐ μόνον ἐν τοῖς νοητοῖς, ἀλλὰ καὶ ἐν τοῖς αἰσθητοῖς ἐστί τι ἀμερές. ἔτι δὲ κατὰ τὸν Ζήνωνος λόγον, ἀνάγκη τι μέγεθος ἀμερὲς εἶναι, εἴπερ ἀδύνατον μὲν ἐν πεπερασμένῳ χρόνῳ ἀπείρων ἅψασθαι, καθ' ἕκαστον ἁπτόμενον, ἀνάγκη δὲ ἐπὶ τὸ ἥμισυ πρότερον ἀφικνεῖσθαι τὸ κινούμενον. τοῦ δὲ μὴ ἀμεροῦς πάντως ἔσται ἥμισυ. εἰ δὲ καὶ ἅπτεται τῶν ἀπείρων ἐν πεπερασμένῳ χρόνῳ τὸ ἐπὶ τῆς γραμμῆς φερόμενον, τὸ δὲ θᾶττον ἐν τῷ ἴσῳ χρόνῳ πλεῖον διανύει, ταχίστη δὲ ἡ τῆς διανοίας κίνησις, κἂν ἡ διάνοια τῶν ἀπείρων ἐφάπτοιτο καθ' ἕκαστον ἐν πεπερασμένῳ χρόνῳ. ὥστε εἰ τὸ καθ' ἕκαστον ἅπτεσθαι τὴν διάνοιαν, ἀριθμεῖν ἐστιν, ἐνδέχεται ἀριθμεῖν τὰ ἄπειρα ἐν πεπερασμένῳ χρόνῳ. εἰ δὲ

τοῦτο ἀδύνατον, εἴη ἂν ἄτομος γραμμή. ἔτι καὶ ἐξ ὧν αὐτοὶ οἱ ἐν τοῖς μαθήμασι λέγουσιν, εἴη ἄν τις ἄτομος γραμμή, ὥς φασιν, εἰ σύμμετροί εἰσιν αἱ τῷ αὐτῷ μέτρῳ μετρούμεναι· ὅσαι δέ εἰσι σύμμετροι, πᾶσαι εἰσὶ μετρούμεναι. εἴη γὰρ ἄν τι μῆκος ᾧ μετρηθήσονται πᾶσαι. τοῦτο δ' ἀνάγκη ἀδιαίρετον εἶναι. εἰ γὰρ διαιρετόν, καὶ τὰ μέρη τούτου μέτρου τινὸς ἔσται. σύμμετρα γὰρ τῷ ὅλῳ. ὥστε μέρους τινὸς εἴη διπλάσια τὸ ἡμίσεως. ἐπειδὴ τὸ τ' ἀδύνατον, ἂν εἴη μέτρον. ὡσαύτως δὲ καὶ αἱ μετρούμεναι ἅπαξ ὑπ' αὐτῆς, ὥσπερ πᾶσαι αἱ ἐκ τοῦ μέτρου συντεθεῖσαι γραμμαί, ἐξ ἀμερῶν σύγκεινται. τὸ αὐτὸ συμβήσεται καὶ τοῖς ἐπιπέδοις. πάντα γὰρ τὰ ἀπὸ τῆς ῥητῆς γραμμῆς, σύμμετρα ἀλλήλοις. ὥστ' ἔσται τὸ μέτρον αὐτῶν ἀμερές. ἀλλὰ μὴν εἴ πη τμηθήσεται μέτρον τινὰ τεταγμένην καὶ ὡρισμένην γραμμήν, οὐκ ἔσται οὔτε ῥητὴ οὔτ' ἄλογος, οὔτ' τῶν ἄλλων οὐδεμία ὧν δὴ νῦν εἴρηται, οἷον ἀποτομὴ ἢ ἐκ δυοῖν ὀνομάτοιν. ἀλλὰ καθ' αὑτὰς μὲν, οὐδὲ μίαν ἕξουσι φύσιν, πρὸς ἀλλήλας δ' ἔσονται ῥηταὶ καὶ ἄλογοι. ἢ πρῶτον μὲν, οὐκ ἀνάγκη τὸ ἀπείρους ἔχον διαιρέσεις, μὴ εἶναι μικρὸν καὶ ὀλίγον. καὶ γὰρ τόπον καὶ μέγεθος καὶ ὅλως τὸ συνεχὲς, μικρὸν μὲν λέγομεν, καὶ ἐφ' ᾧ μὲν ἁρμόττει τὸ ὀλίγον, οὐ μὴν ἀλλ' ἀπείρους διαιρέσεις φαμὲν ἔχειν. ἔτι δ' εἰ ἐν τῷ συνθέτῳ γεγραμμαί, κατὰ τούτων τῶν ἀμφιλέγεται τὸ μικρὸν, καὶ ἄπειροι στιγμαὶ ἐνυπάρχουσιν. ἡ δὲ γραμμὴ, διαίρεσις κατὰ στιγμὴν, καὶ ὁμοίως κατὰ τὸ ὁποιανοῦν ἀπείρους ἂν ἔχοι διαιρέσεις ἅπασα, ὡς ἡ μὴ ἄτομος. ἔνιαι δὲ τούτων εἰς μακρὰ καὶ ἄπειροι ὀλίγον. πᾶσαι δὲ λημφθῶσι τὸν ἐπιταχθέντα λόγον, δυνατὸν ἢν μὴ ἄτομον. ἔτι εἰ τὸ μέγα ἐκ μικρῶν τινῶν σύγκειται, ἢ οὐθὲν ἔσται τὸ μέγα, ἢ τὸ πεπερασμένας ἔχον διαιρέσεις οὐ μέγα ἔσται. τὸ γὰρ ὅλον ταῖς μεγάλων ἔχει διαιρέσεις ὁμοίως. εὔλογον δ' ἐπὶ τὸ, τὸ σμικρὸν πεπερασμένας ἔχειν διαιρέσεις καὶ τὸ μέγα ἀπείρους, οὕτως ἀξιοῦσιν. ὥστε φανερὸν ὅτι οὐκ ἐν τούτῳ λέγοιτο τὸ μέγα καὶ τὸ μικρὸν, τῷ πεπερασμέ-

τας ἔχειν καὶ ἀπείρους διαιρέσεις. εἰ δ' ὅτι καὶ ἐν ἀριθμοῖς τὸ ὀλίγον πεπερασμένας ἔχει διαιρέσεις, καὶ ἐν γραμμαῖς τις ἀξιοίη τὸ μικρόν, εὔηθες. ἐκεῖ μὲν γὰρ ἐξ ἀμερῶν τε ἡ φύσις, καὶ ἔστι τι ὃ τῶν ἀριθμῶν ἀρχή ἐστι, καὶ πᾶς ὁ μὴ ἄπειρος ἀριθμὸς πεπερασμένας ἔχει διαιρέσεις. ἐπὶ δὲ τῶν μεγεθῶν οὐχ ὁμοίως. οἱ δ' ἐν τοῖς εἴδεσι τὰς ἀτόμους κατασκευάζοντες, τοὐλάχιστον ἴσως ἀξίωμα λαμβάνουσι τῶν προκειμένων, τὸ τιθέναι τούτων ἰδέας· καὶ τρόπον τινὰ ταῦτ' ἀναιροῦσι δι' ὧν δεικνύουσι. τὰ γὰρ διὰ τούτων τῶν λόγων ἀναιρεῖται τὰ εἴδη. πάλιν δὲ τῶν σωματικῶν στοιχείων εὔηθες τὸ ἀμερῆ ἀξιοῦν. εἰ γὰρ αὖ καὶ ἀποφαίνονταί τινες οὕτως, ἀλλὰ πρός γε τὴν ὑποκειμένην σκέψιν αὐτὸ τὸ ἐξ ἀρχῆς λαμβάνουσι, μᾶλλον δὲ ὅσῳ μᾶλλον τὸ ἐξ ἀρχῆς δόξειεν ἀναλαμβάνεσθαι, πόσῳ μᾶλλον δοκεῖ διαιρετὸν εἶναι σῶμα καὶ μῆκος καὶ τοῖς ὄγκοις καὶ τοῖς διαστήμασιν. ὁ δὲ τοῦ Ζήνωνος λόγος οὐ συμβιβάζει, ὡς συμπεπερασμένῳ χρόνῳ τῶν ἀπείρων ἅπτεσθαι τὸ φερόμενον ὡδὶ τὸν αὐτὸν τρόπον. ὁ γὰρ χρόνος καὶ τὸ μῆκος, ἄπειρον καὶ πεπερασμένον λέγεται, καὶ τοσαύτας ἔχει διαιρέσεις. οὐδὲ δὴ τὸ καθ' ἕκαστον ἅπτεσθαι τῶν ἀπείρων τὴν διάνοιαν, οὐκ ἔστιν ἀριθμεῖν, εἰ ἄρα τις ἐννοήσειεν οὕτως ἐφάπτεσθαι τῶν ἀπείρων τὴν διάνοιαν. ὅπερ ἴσως ἀδύνατον. οὐ γὰρ ἐν συνεχέσι καὶ ὑποκειμένοις ἡ τῆς διανοίας κίνησις, ὥσπερ ἐπὶ τῶν φερομένων. εἰ δ' οὖν καὶ ἐγχωρεῖ κινεῖσθαι οὕτως, οὐκ ἔστι τοῦτο ἀριθμεῖν. τὸ γὰρ ἀριθμεῖν ἐστι τὸ μετ' ἐπιστασίας. ἀλλ' ἄτοπον ἴσως τὸ μὴ δυναμένους λύειν τὸν λόγον, δουλεύειν τῇ ἀσθενείᾳ, καὶ προσεξαπατᾶν ἑαυτοὺς μείζους ἀπάτας, βοηθοῦντας τῇ ἀδυναμίᾳ. τὸ δ' ἐπὶ τῶν συμμέτρων γραμμῶν, ὡς ὅτι αἱ πᾶσαι τῷ αὐτῷ τινι καὶ ἑνὶ μετροῦνται, κομιδῇ σοφιστικόν, καὶ ἥκιστα κατὰ τὴν ὑπόθεσιν τὴν ἐν τοῖς μαθήμασιν. οὔτε γὰρ ὑποτίθενται οὕτως, οὔτε χρήσιμον αὐτοῖς ἐστιν. ἅμα δὲ καὶ ἐναντίον, πᾶ-

σαι μὲν γραμμὴν σύμμετρον γίνεσθαι, πασῶν δὲ τῶν συμμέτρων κοινὸν μέτρον εἶναι ἀξιοῦν. ὥστε γελοῖον τὸ κατὰ τὰς ἐκείνων δόξας καὶ ἐξ ὧν αὐτοὶ λέγουσι φάσκοντες δείξειν, εἰς ἐριστικὸν ἅμα καὶ σοφιστικὸν ἐκκλίνειν λόγον, καὶ ταῦτα οὕτως ἀσθενῆ. πολλαχῶς γὰρ ἀσθενής ἐστι, καὶ πάντα τρόπον διαφυγεῖν καὶ τὰ παράδοξα καὶ τοὺς ἐλέγχους. ἔτι δ' ἄτοπον ἂν εἴη διὰ μὲν τὸν Ζήνωνος λόγον παραπεπεῖσθαί τινας, ἀτόμους ποιεῖν γραμμάς, ὧν μὴ ἔχει αἰτεῖται· διὰ δὲ τῆς ἀληθείας εἰς τὴν ἡμιόλιον κίνησιν, ἣν ἀναγκαῖον ἀεὶ τέμνειν, ἀπείρων μεταξὺ τῶν πλευρῶν περιφερειῶν τε διαστημάτων ὄντων. καὶ πάλιν διὰ τὴν τῶν ἴσων κύκλων ὔπιστον, ὅτι ἀνάγκη κἂν ὅτι κινῆται, μεῖζον ἡμικύκλιον κινεῖσθαι· καὶ ὅσα ἄλλα τοιαῦτα πιθώρηται περὶ τὰς γραμμὰς μὴ οἷόν τε ἐνδέχεσθαι τοιαύτην δή τινα γίνεσθαι κίνησιν, ὡς τῇ ἐφ' ἑκάστην τῶν μεταξὺ μὴ πίπτειν πρότερον. πολὺ γὰρ ταῦτα μᾶλλον ὁμολογούμενα ἐκείνων. ὅτι μὲν οὖν ἔκ γε τῶν εἰρημένων λόγων οὔτε ἀναγκαῖον ἀτόμους εἶναι γραμμάς, οὔτε πιθανόν, φανερόν. ἔτι δὲ καὶ ἐκ τῶνδε γένοιτ' ἂν φανερώτερον· πρῶτον μέν, ἐκ τῶν ἐν τοῖς μαθήμασι δεικνυμένων καὶ τιθεμένων, ἃ οὐ δίκαιον ἢ πιστοτέροις λόγοις κινεῖν. οὔτε γὰρ ὁ τῆς γραμμῆς, οὔθ' ὁ τῆς εὐθείας ὅρος ἐφαρμόσει τῇ ἀτόμῳ, διὰ τὸ μήτε μεταξὺ τινῶν εἶναι, μήτ' ἔχειν μέσον. ἔπειτα πᾶσαι αἱ γραμμαὶ σύμμετροι ἔσονται. πᾶσαι γὰρ ὑπὸ τῶν ἀτόμων μετρηθήσονται, αἵ τε μήκει σύμμετροι, καὶ αἱ δυνάμει· αἱ δὲ ἄτομοι, σύμμετροι πᾶσαι μήκει. ἴσαι γάρ· ὥστε καὶ δυνάμει. εἰ δὲ τοῦτο, διαιρετὸν ἔσται τὸ τετράγωνον. ἔτι, εἰ ἡ περὶ τὴν μείζω τὸ πλάτος ποιεῖ παραβαλλομένη τὸ ἴσον τῷ ἀπὸ τῆς ἀτόμου καὶ τῆς ποδιαίας παραβαλλομένων, τὸ εἰ τὴν δίπου ἐλάττω ποιήσει τὸ πλάτος τῆς ἀμεροῦς· ἔσται ἔλαττον τὸ περὶ τῆς ἀτόμου. ἔτι, εἰ ἐκ τριῶν δοθεισῶν εὐθειῶν συνίσταται τρίγωνον, καὶ ἐκ τῶν ἀτόμων συσταίη ἄν. ἐν ἅπαντι

δ' εἰ ἰσοπλεύρῳ ἡ κάθετος ἐπὶ μέσην πίπτει, ὥστε καὶ ἐπὶ τῆς ἀτόμου. ἔτι, εἰ τὸ τῶν ἀμερῶν διὰ μέσου μεσούσης καὶ καθέτου ἀχθείσης, ἡ τοῦ τετραγώνου τὴν κάθετον δύναται καὶ τὴν ἡμίσειαν τῆς διαμέτρου· ὥστε οὐκ ἐλαχίστη. οὐδὲ διπλάσιον τὸ ἀπὸ τῆς διαμέτρου χωρίον ἔσται τοῦ ἀπὸ τῆς ἀτόμου. ἀφαιρεθέντος γὰρ τοῦ ἴσου, ἡ λοιπὴ ἔσται ἐλάσσων τῆς ἀμεροῦς. εἰ γὰρ ἴσως τετραπλάσιον ἂν ἐγένετο ἡ διάμετρος. ἅμα δ' ὅσπερ καὶ ἕτερα τοιαῦτα συνάγοι. πᾶσι γὰρ ὡς εἰπεῖν ἐναντιοῦται τοῖς ἐν τοῖς μαθήμασι. πάλιν τοῦ μὲν ἀμεροῦς, μία ἡ συναφὴ, γραμμῆς δὲ δύο. καὶ γὰρ ὅλη ὅλης ἅπτεται, καὶ κατὰ τὸ πέρας ἐξ ἐναντίας. ἔτι, γραμμὴ προστεθεῖσα, οὐ ποιήσει μείζω τῆς ὅλης· τὰ γὰρ ἀμερῆ συντεθέμενα οὐ ποιήσει μεῖζον τὸ πλέον; ἔτι ἐκ δυοῖν ἀμεροῖν μηδὲν γίνεσθαι συνεχὲς, διὰ τὸ πλείους ἔχειν ἅπαν τὸ συνεχές. ἅπασα δὲ γραμμὴ παρὰ τὴν ἄτομον συνεχὴς, οὐκ ἂν εἴη γραμμὴ ἄτομος. ἔτι, εἰ ἅπασα γραμμὴ πλὴν τῆς ἀτόμου καὶ εἰς ἴσα καὶ ἄνισα διαιρεῖται, καὶ μὴ ἐκ τριῶν ἀτόμων καὶ ὅλως περιττῶν. ὥστε ἀδιαίρετος ἡ ἄτομος. ὁμοίως δὲ κἂν εἰ δίχα τέμνηται. πᾶσα γὰρ ἡ ἐκ τῶν περιττῶν. εἰ δὲ δίχα μὲν μὴ πᾶσα τέμνεται, ἀλλ' ἡ ἐκ τῶν ἀρτίων, τῶν δὲ δίχα διῃρημένων καὶ ὅσα δυνατὸν τέμνειν διαιρεθήσεται. καὶ οὕτως ἡ ἄτομος ὅταν ἐκ τῶν ἀρτίων εἰς δύο ἴσα διαιρῆται. πάλιν εἰ τὸ κεκινημένον ἐν ᾧ χρόνῳ κινεῖται τὴν ὅλην ἐν τῷ ἡμίσει τὴν ἡμίσειαν καὶ κινηθήσεται, καὶ ἐν ᾧ ἐλάττονι ἔλαττον ἢ τὴν ἡμίσειαν. ὥστε εἰ μὲν περιττῶν σύγκειται τῶν ἀτόμων τὸ μῆκος, διαιρεθήσεται ἡ μέση τομὴ τῆς ἀτόμου, εἴπερ ἐν τῷ ἡμίσει χρόνῳ τὸ ἥμισυ δίεισιν· ὁμοίως γὰρ ὅ, τε χρόνος καὶ ἡ γραμμὴ τμηθήσεται. ὥστε οὐδεμία τῶν συγκειμένων τμηθήσεται εἰς ἴσα καὶ ἄνισα, οὐδ' ὁμοίως τοῖς χρόνοις τμηθήσονται. οὐκ ἔσονται ἄτομοι γραμμαί. τὰ δὲ τοῦ αὐτοῦ λόγου ἐστὶ, καθάπερ εἴρηται, τὸ ταῦτα πάντα ποιεῖν ἐξ ἀμερῶν. ἔτι ἅπασα ἡ μὴ ἄπειρος δύο ἔχει πέρατα.

γραμμὴ γὰρ ὥρισται τούτων. ἡ δὲ ἄτομος, οὐκ ἄπειρος. ὥστ᾽ ἕξει πέρας. διαιρετὴ ἄρα. τὸ γὰρ πέρας ἄλλο καὶ οὗ πέρας. ἢ ἔσται τις οὐκ ἄπειρος οὐδὲ πεπερασμένη γραμμή. πρὸς δὲ τούτοις ἔτι οὐκ ἐν ἁπάσῃ γραμμῇ στιγμὴ ἔσται. εἰ μὴ γὰρ μάλιστα μόνη ὑπάρξει γραμμή, εἶτα στιγμή· εἰ δὲ πλείους, διαιρετὴ ἡ γραμμή. εἰ μὲν οὖν ἐν τῇ ἀτόμῳ μὴ ἐνυπάρχει στιγμή, οὐδ᾽ ὅλως ἐν γραμμῇ ἔσται. αἱ γὰρ ἄλλαι ἐκ τῶν ἀτόμων. ἔτι, εἰ μηδὲν τῶν στιγμῶν ἔσται μεταξὺ ἢ γραμμή· εἰ δὲ μεταξύ, ἄρα γραμμή. ἐν ἁπάσαις δὲ, πλείους στιγμαὶ, οὐκ ἔσται ἄτομος. ἔτι, οὐχ ἁπάσης ἔσται γραμμῆς τετράγωνον. ἕξει γὰρ μῆκος καὶ πλάτος, ὥστε διαιρετόν. ἐπεὶ τὸ μὲν, τὸ δὲ τό. εἰ δὲ τὸ τετράγωνον διαιρετὸν, καὶ ἡ γραμμή, ἄρα ἔτι τὸ πέρας τῆς γραμμῆς στιγμὴ ἔσται, ἀλλ᾽ οὐ γραμμή. πέρας μὲν γὰρ τὸ ἔσχατον δὲ ἡ ἄτομος. ἡ γὰρ στιγμὴ τὸ πέρας τῇ ἀτόμῳ ἔσται στιγμή. καὶ ἔσται γραμμὴ γραμμῆς στιγμῇ μείζων. εἰ δὲ ἐνυπάρχει τῇ ἀτόμῳ ἡ στιγμή, δεῖ τὸ αὐτὸ πέρας τῶν συνεχουσῶν γραμμῶν, ἔσται τὸ πέρας τοῦ ἀμεροῦς. ὅλως τί τὸ διοίσει στιγμὴ γραμμῆς; οὐδὲν γὰρ ἴδιον ἕξει ἡ ἄτομος γραμμὴ παρὰ τὴν στιγμὴν, πλὴν τοὔνομα. ἔτι ὁμοίως μένει ἐπίπεδον καὶ σῶμα εἶναι ἄτομον. ἑνὸς γὰρ ὄντος ἀδιαιρέτου, καὶ τἆλλα συνακολουθεῖ, δεῖ τὸ θάτερον διῃρῆσθαι κατὰ θάτερον. σῶμα δὲ οὐκ ἔσται ἀδιαίρετον δεῖ τὸ εἶναι ἐν τῷ αὐτῷ βάθος καὶ πλάτος. οὐδὲ γραμμὴ εἴη ἂν ἀδιαίρετος. σῶμα μὲν γὰρ κατ᾽ ἐπίπεδον, αὐτὴ δὲ κατὰ γραμμήν. ἐπεὶ δὲ οἷς τε λόγοις δι᾽ ὧν ἐπιχειροῦσι πιστεῖν, ἀσθενεῖς εἰσι καὶ ψευδεῖς, ἐναντίαι δόξαι πᾶσαι τοῖς ἰσχύουσι πρὸς πίστιν, φανερὸν ὅτι οὐκ ἂν εἴη γραμμὴ ἄτομος. δῆλον δ᾽ ὅτι ἐκ στιγμῶν εἴη γραμμή. σχεδὸν γὰρ οἱ πλεῖστοι λόγοι οἱ αὐτοὶ ἁρμόσουσιν. ἀνάγκη γὰρ διαιρεῖσθαι τὴν στιγμὴν, ὅταν ἡ ἐκ περιττῶν τέμνηται ἴσα, ἢ ἐξ ἀρτίων τὰ ἄνισα· καὶ τὸ τῆς γραμμῆς μέρος μὴ εἶναι γραμμὴν· μηδὲ τὸ τοῦ ἐπιπέδου, ἐπίπεδον, καὶ γραμμὴ δὲ γραμμῆς στιγμῇ εἶναι μείζων. ἐξ ὧν γὰρ σύγκειται

τούτων καὶ ὑπερέξει. τοῦτο δὲ ἀδύνατον ἔκ τε τῶν ἐν τοῖς μαθήμασι δῆλον, καὶ ἔτι συμβήσεται τὴν στιγμὴν ἐν χρόνῳ διιέναι τὸ φερόμενον· εἰ γὰρ τὴν μείζω μὲν ἐν πλείονι χρόνῳ, τὴν δ' ἴσην, ἐν ἴσῳ· ἡ δὲ τοῦ χρόνου ὑπεροχή, χρόνος. ἀλλ' ἴσως καὶ ὁ χρόνος ἐστὶ καὶ ἐκ τῶν νῦν, καὶ τοῦ αὐτοῦ λόγου λέγει ἄμφω· εἰ δὴ τὸ νῦν ἀρχὴ καὶ πέρας τοῦ χρόνου, καὶ ἡ γραμμὴ στιγμῆς. μή ἐστι δὲ συνεχής, ὥσπερ ἡ ἀρχὴ καὶ τὸ πέρας, ἀλλ' ἔχουσι τὸ μεταξύ, οὐκ ἂν εἴη οὔτε τὰ νῦν οὔτε στιγμαὶ ἀλλήλαις συνεχεῖς. ἔτι, ἡ μὲν γραμμή, μέγεθός ἐστιν, ἡ δὲ τῶν στιγμῶν σύνθεσις, οὐδὲν ποιεῖ μέγεθος, διὰ τὸ μηδ' ἐπὶ πλείω τόπον ἔχειν. ὅταν γὰρ ἐπὶ γραμμὴν γραμμὴ τεθῇ καὶ ἐφαρμόσῃ, οὐδὲ γίνεται μεῖζον τὸ πλάτος. ἐν δὲ τῇ γραμμῇ, καὶ στιγμαὶ ἐνυπάρχουσι. οὐδ' ἂν αἱ στιγμαί, πλείω κατέχουσι τόπον· ὥστε οὐκ ἂν ποιῇ μέγεθος. ἔτι, εἰ ἅπαντα ἅπτεται παντός, ἢ ὅλα, ἢ τι τινός, ἢ ὅλον τινός· ἡ δὲ στιγμὴ ἀμερὴς ὅλως ἅπτοιτο. τὸ δ' ὅλον ὅλου ἁπτόμενον, ἀνάγκη ἓν εἶναι· εἰ γὰρ πῄ ἐστιν, ἡ δ' ἑτέρα μὴ ἐστιν, οὐκ ἂν ὅλον ὅλου ἅπτοιτο. εἰ δ' ἅμα ἐστὶ τὰ ἀμέσως, τὸν αὐτὸν κατέχει τόπον πλείων δύο καὶ περ ἑνὸς τὸ ἕν. τὸ καὶ ἅμα ὄντων καὶ μὴ ἐχόντων ἐπιλαβεῖν, κατὰ ταυτὰ ὁ αὐτὸς ἀμφοῖν τόπος. τὸ δ' ἀμερές, οὐκ ἔχει διάστασιν. ὥστε οὐκ ἂν εἴη μέγεθος συνεχὲς ἐξ ἀμερῶν. οὐκ ἄρα οὐδ' ἡ γραμμὴ ἐκ στιγμῶν, οὐδ' ὁ χρόνος ἐκ τῶν νῦν. ἔτι, εἰ ἔστιν ἐκ στιγμῶν, ἅψεται στιγμὴ στιγμῆς· ἐὰν ἐκ τοῦ κ ἐκβληθῇ ἡ αβ καὶ γδ, ἅψεται τὸ κ, καὶ ἡ ἐν τῇ κδ στιγμή. ὥστε καὶ ἄλλῳ τινί. τὸ γὰρ ἀμερὲς τοῦ ἀμεροῦς ὅλον ὅλου ἐφάπτεται, ὥστε τὸν αὐτὸν ἐφέξει τὸ κ, καὶ ἁπτόμεναι στιγμαὶ ἐν τῷ αὐτῷ τόπῳ ἀλλήλαις. εἰ δ' ἐν τῷ αὐτῷ, καὶ ἅπτονται. τὰ γὰρ ἐν τῷ τόπῳ ὄντα τῷ πρώτῳ ἅπτεσθαι ἀναγκαῖον, εἴπερ οὕτως ἀληθείας ἅψεται κατὰ δύο στιγμάς. ἡ γὰρ ἐν τῇ α στιγμὴ καὶ τῇ κγ, καὶ ἑτέρας ἅπτεται στιγμῆς. ὥστε ἡ ἐκ τοῦ γδ, κατὰ πλείους ἅπτεται στιγμάς. ὁ αὐτὸς δὲ λόγος καὶ εἰ μὴ δι' ἀλλήλων ἀλλ' ὁπωσοῦν ἥπτο

οὐδ᾽ ἅπτεσθαι γραμμῆς. ἔτι, καὶ ἡ τοῦ κύκλου τῆς εὐθείας ἅπτεται κατὰ πλείω. τῆς γὰρ συναφῆς καὶ ἡ ἐν τῷ κύκλῳ καὶ ἡ ἐν τῇ εὐθείᾳ ἅπτεται καὶ ἀλλήλων. εἰ δὲ τοῦτο μὴ δυνατόν, οὐδὲ τὸ ἅπτεσθαι στιγμὴν στιγμῆς· εἰ δὲ μὴ ἅπτεσθαι, οὐδ᾽ εἶναι τὴν γραμμὴν στιγμῶν· οὐδὲ γὰρ ἅπτεσθαι ἀναγκαῖον. ἔτι, πῶς ποτε εὐθεῖα ἔσται γραμμὴ καὶ περιφέρεια; οὐδὲν γὰρ διοίσει ἡ σύναψις τῶν στιγμῶν ἐν τῇ εὐθείᾳ καὶ περιφερείᾳ. τὸ γὰρ ἀμερὲς τοῦ ἀμεροῦς ὅλον ὅλου ἅπτεται, καὶ οὐκ ἔστιν ὅλως ἅπτεσθαι. εἰ οὖν αἱ μὲν γραμμαὶ διάφοροι, ἡ δὲ σύναψις ἀδιάφορος, οὐκ ἔσται δὴ γραμμὴ ἐκ τῆς συνάψεως. ὥστε οὐδὲ ἐκ στιγμῶν. ἔτι, ἀναγκαῖον ἢ ἅπτεσθαι ἢ μὴ ἅπτεσθαι τὰς στιγμὰς ἀλλήλων. εἰ μὲν τὸ ἐφεξῆς ἅπτεσθαι ἀνάγκη, ὁ αὐτὸς ἔσται λόγος· εἰ δὲ ἐνδέχοιτο τὸ ἐφεξῆς εἶναι μὴ ἁπτόμενον, τὸ δὲ συνεχὲς οὐδὲν ἄλλο λέγομεν, ἢ τὸ ἐξ ὧν ἐστιν ἁπτομένων. ὥστε καὶ οὕτως ἀνάγκη τὰς στιγμὰς ἅπτεσθαι ἀλλήλων, ἢ εἶναι γραμμὴν συνεχῆ. ἔτι, εἰ ἄτοπον στιγμὴν ἐπὶ στιγμῆς, ἵνα ἡ γραμμὴ καὶ ἐπὶ στιγμῇ· ἐπεὶ ἡ γραμμὴ ἐπίπεδον, ἀδύνατον τὰ εἰρημένα εἶναι. ἔτι γὰρ ἐφεξῆς αἱ στιγμαί εἰσι, καὶ κληθήσεται ἡ γραμμὴ κατ᾽ οὐδετέρας τῶν στιγμῶν, ἀλλ᾽ ἀνὰ μέσον εἶτ᾽ ἄπειροι γραμμή, ἔσται τῆς μιᾶς στιγμῆς χώρα. τοῦτο δ᾽ ἀδύνατον. ἔτι, διαιροῖτ᾽ ἂν ἅπαντα καὶ ἀναλύοιτο εἰς στιγμάς, καὶ ἡ στιγμὴ μέρος σώματος· εἴπερ τὸ μὲν σῶμα ἐξ ἐπιπέδων, τὸ δ᾽ ἐπίπεδον ἐκ γραμμῶν, αἱ δὲ γραμμαὶ ἐκ στιγμῶν. εἰ δ᾽ ἐξ ὧν πρώτων ἐνυπαρχόντων ἕκαστόν ἐστι, στοιχεῖά ἐστι ταῦτα, αἱ στιγμαὶ ἂν εἴησαν στοιχεῖα σωμάτων. ὥστε συνώνυμα στοιχεῖα οὐδέτερα τῷ εἴδει. φανερὸν οὖν ἐκ τῶν εἰρημένων ὅτι οὐκ ἔστι γραμμὴ ἐκ στιγμῶν. ἀλλ᾽ οὐδὲ ἀφαιρεθῆναι οἷόν τε στιγμὴν ἀπὸ γραμμῆς. εἰ γὰρ ἐνδέχεται ἀφαιρεθῆναι, καὶ προστεθῆναι δυνατόν· προστεθέντος δέ τινος, τὸ προστεθὲν, μεῖζον ἔσται τοῦ ἐξ ἀρχῆς, ἐὰν τοῦτο ᾖ

τὸ προστιθέμενον, ὥστε ἓν ὅλον ποιεῖν, ἔσται γραμμὴ γραμμῆς στιγμῇ μείζων. τοῦτο δὲ ἀδύνατον· ἀλλὰ καθ' ἑαυτὴν μὲν, οὐχ ἐνόντι, κατὰ συμβεβηκὸς δὲ ἐνδέχεται στιγμὴν ἀπὸ γραμμῆς ἀφελεῖν, τῷ ἐνυπάρχειν ἐν τῇ ἀφαιρουμένῃ γραμμῇ. εἰ τοῦ ὅλου ἀφαιρεῖται, καὶ ἡ ἀρχὴ καὶ τὸ πέρας, ἀγραμμὴς δ' ἦν ἡ ἀρχὴ καὶ τὸ πέρας, στιγμὴν καὶ γραμμῆς ἐγχωρεῖ ἀφαιρεῖν καὶ στιγμὴν ἐνδέχοιτο. αὕτη δὲ ἡ ἀφαίρεσις κατὰ συμβεβηκός. εἰ δὲ τὸ πέρας ἅπτεται, οὔτε πέρας ἡ αὐτὴ, οὐ τῶν ἐκείνου τινός. ἡ δὲ στιγμὴ ἢ πέρας γραμμῆς, ἅπτεται. ἢ μὲν οὖν γραμμῆς ἔσται στιγμὴ μείζων. ἡ δὲ στιγμὴ ἐκ στιγμῶν τῶν ἁπτομένων, οὐδὲν ἀνὰ μέσον, ὁ αὐτὸς λόγος· καὶ ὁ ἐπὶ τῆς τομῆς, εἰ ἡ τομὴ ἐκ στιγμῆς καὶ ἡ τομὴ ἅπτεται τινός, καὶ ἐπὶ τοῦ στερεοῦ καὶ ἐπιπέδου· ὡσαύτως δὲ καὶ τὸ στερεὸν ἐξ ἐπιπέδων καὶ γραμμῶν. οὐκ εὔηθες δὲ κατὰ στιγμὴν εἰπεῖν, οὐδ' ὅτι καὶ ἐλαχίστη τῶν ἐκ γραμμῆς εἰς ἐλάχιστον τῶν ἐνυπαρχόντων εἴρηται. τὸ δὲ ἐλάχιστον, ὧν ἐλάχιστόν ἐστι, καὶ ἔλαττόν ἐστιν. ἐν δὲ τῇ γραμμῇ οὐδὲν ἄλλο ἢ στιγμαὶ καὶ γραμμαὶ ἐνυπάρχουσιν. οὐ δὲ γραμμὴ τῆς στιγμῆς οὐκ ἔστι μείζων· οὐδὲ γὰρ τὸ ἐπίπεδον τῆς γραμμῆς. ὡς οὐκ ἔσται στιγμὴ τὸ ἐν γραμμῇ ἐλάχιστον. εἰ δὲ συμβλητὸν τῇ γραμμῇ ἡ στιγμὴ, τὸ δὲ ἐλάχιστον ἐν τελαὶ προσώποις, οὐκ ἔσται ἡ στιγμὴ τῶν ἐν τῇ γραμμῇ ἐλάχιστον. καὶ ὅλως ἄτοπα ἐνυπάρχει παρὰ τὰς στιγμὰς καὶ τὰς γραμμὰς ἐν τῷ μήκει. οὐ γὰρ ἐκ στιγμῶν. εἰ δὲ τὸ ἐν τόπῳ ὂν ἢ στιγμὴ μῆκος, ἢ ἐπίπεδον ἢ στερεὸν ἐκ τούτων τι· ἐξ ὧν δ' ἐστὶν ἡ γραμμὴ, ἐκεῖνα ἐν τόπῳ· καὶ ἡ γραμμὴ, καὶ μήτε σῶμα μήτ' ἐπίπεδον, μήτε τι ἐκ τούτων ἐνυπάρχει τῇ γραμμῇ, οὐκ ἔσται οὐδὲν ὅλως παρὰ τὰς στιγμὰς καὶ τὰς γραμμὰς ἐν τῷ μήκει. ἔτι εἰ τοῦ ἐν τόπῳ ὄντος τὸ μεῖζον λεγόμενον μῆκος ἢ ἐπιφάνεια στερεὸν, ἡ δὲ στιγμὴ ἐν τόπῳ, τὸ δ' ἐν τῷ μήκει ὑπάρχον παρὰ τὰς στιγμὰς καὶ τὰς γραμμὰς οὐδὲν τῶν προειρημένων.

ὥστ' οὐκ ἔσται ἡ στιγμὴ τῶν ἐνυπαρχόντων ἐλάχιστον. ἔτι εἰ τὸ ἐλάχιστόν τι τῶν ἐν τῇ οἰκίᾳ, μήτε τῆς οἰκίας συμβαινομένης πρὸς αὐτὸ λέγεται· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· οὐδὲ τὸ ἐν γραμμῇ ἐλάχιστον πρὸς γραμμὴν συγκρινόμενον ἔσται. ὥστ' οὐχ ἁρμόσει τὸ ἐλάχιστον ἐπὶ τὸ μὴ ὂν ἐν τῇ οἰκίᾳ, μὴ ἔστι τὸ ἐν τῇ οἰκίᾳ ἐλάχιστον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐνδέχεται γὰρ αὐτὴν γραμμὴν καθ' αὑτὴν εἶναι. οὐκ ἔσται κατὰ τοῦτον ἀληθὲς εἰπεῖν ὅτι τὸ ἐν γραμμῇ ἐλάχιστον, ὅτι οὐκ ἔστιν ἡ στιγμὴ ἄρθρον ἀδιαίρετον. τὸ μὲν γὰρ ἄρθρον ἀεὶ, δυοῖν ὅρος· ἡ δὲ στιγμὴ, καὶ μιᾶς γραμμῆς ὅρος ἐστίν. ἔτι, ἡ μὲν, πέρας, ἡ δὲ διαίρεσις μᾶλλον. ἔτι ἡ γραμμὴ τὸ ἐπίπεδον, ἄρθρα ἔσονται· ἀνάλογον γὰρ ἔχουσιν. ὅτι τὸ ἄρθρον διάφορόν πως ἐστί. διὸ καὶ Ἐμπεδοκλῆς ἐποίησε,* διὸ δεῖ ὀρθῶς. ἡ δὲ στιγμὴ καὶ τὸ ἐν τοῖς ἀκινήτοις. ἔτι οὐδεὶς ἔχει ἄπειρα ἄρθρα ἐν τῷ σώματι ἢ τῇ χειρὶ, στιγμὰς δὲ ἀπείρους. ἔτι λίθου ἄρθρον οὐκ ἔστιν, οὐδ' ἔχει· στιγμὰς δὲ ἔχει.

ΕΚ ΤΟΥ ΠΕΡΙ ΑΚΟΥΣΤΩΝ, Ἀριστοτέλους.

Τὰς δὲ φωνὰς ἁπάσας συμβαίνει γίνεσθαι καὶ τοὺς ψόφους, ἢ τῶν σωμάτων, ἢ τοῦ ἀέρος πρὸς τὰ σώματα προσπίπτοντος, οὐ τῷ τὸν ἀέρα σχηματίζεσθαι, καθάπερ οἴονταί τινες, ἀλλὰ τῷ κινεῖσθαι παραπλησίως αὐτὸν συστελλόμενον καὶ ἐκτεινόμενον καὶ καταλαμβανόμενον· ἔτι δὲ συγκρούοντα, διὰ τὰς τοῦ πνεύματος καὶ τῶν χορδῶν γινομένας πληγάς. ὅταν γὰρ τὸν ἐφεξῆς ἀέρα πλήξῃ τὸ πνεῦμα τὸ ἐμπῖπτον αὐτῷ,

ὁ ἀὴρ ἤδη φέρεται βίᾳ, τὸν ἐχόμενον αὐτοῦ προωθῶν ὁμοίως. ὥστε πάντη τὴν φωνὴν διατείνειν τὴν αὐτήν, ἐφ' ὅσον συμβαίνει γίγνεσθαι καὶ τοῦ ἀέρος τὴν κίνησιν. διαχεῖται γὰρ ἐπὶ πλέονα ἡ βία τῆς κινήσεως αὐτοῦ γιγνομένης· ὥσπερ καὶ τὰ πνεύματα ἀπὸ τῶν ποταμῶν καὶ ἀπὸ τῆς χώρας ἀποπνέοντα. τῶν δὲ φωνῶν, τυφλαὶ μέν εἰσι καὶ νεφώδεις, ὅσαι τυγχάνουσιν αὐτοῦ κατεπνιγμέναι· λαμπραὶ δ' ὅσαι, πόρρω διατείνουσι, καὶ πάντα πληροῦσι τὸν συνεχῆ τόπον. ἀναπνέομεν δὲ τὸν μὲν ἀέρα πάντες τὸν αὐτόν, τὸ δὲ πνεῦμα καὶ τὰς φωνὰς ἐκπέμπομεν ἀλλοίας διὰ τὰς τῶν ὑποκειμένων ἀγγείων διαφοράς, δι' ὧν ἑκάστου τὸ πνεῦμα φέρεται πρὸς τὸν ἔξω τόπον. ταῦτα δέ ἐστιν ἥ τε ἀρτηρία καὶ ὁ πνεύμων καὶ τὸ στόμα. πλείστην μὲν οὖν διαφορὰν ἀπεργάζονται τῆς φωνῆς αἵ τε τοῦ ἀέρος πληγαὶ καὶ οἱ τοῦ στόματος σχηματισμοί. φανερὸν δέ ἐστι· καὶ γὰρ τῶν φθόγγων αἱ διαφοραὶ πᾶσαι γίγνονται διὰ ταύτην τὴν αἰτίαν· καὶ τοὺς αὐτοὺς ὁρῶμεν μιμουμένους καὶ ἵππων φωνὰς καὶ βατράχων καὶ ἀηδόνων καὶ γεράνων, καὶ τῶν ἄλλων ζώων σχεδὸν ἁπάντων, τῷ αὐτῷ χρωμένους πνεύματι καὶ ἀρτηρίᾳ, παρὰ τὸ τὸν ἀέρα διαφόρως ἐκπέμπειν αὐτοὺς ἐκ τοῦ στόματος. πολλὰ δὲ καὶ τῶν ὀρνέων ὅταν ἀκούσωσι, μιμοῦνται τὰς τῶν ἄλλων φωνάς, διὰ τὴν εἰρημένην αἰτίαν. ὁ δὲ πνεύμων ὅταν ᾖ μικρὸς καὶ πυκνὸς καὶ σκληρός, οὔτε δέχεσθαι δύναται τὸν ἀέρα πολὺν εἰς αὐτόν, οὔτε ἐκπέμπειν πάλιν ἔξω, οὐδὲ τὴν πληγὴν ἰσχυρὰν οὐδὲ εὔρωστον ποιεῖσθαι τὴν τοῦ πνεύματος. διὰ γὰρ τὸ εἶναι σκληρὸς καὶ πυκνὸς καὶ συνδεδεμένος, οὐ δύναται λαμβάνειν τὴν διάστασιν ἐπὶ πολὺν τόπον· οὐδὲ πάλιν ἐκ πολλοῦ διαστήματος συνάγων ἑαυτόν, ἐκθλίβειν βίᾳ τὸ πνεῦμα, καθάπερ οὐδ' ἡμεῖς τὰς φύσας, ὅταν ὦσι σκληραί, καὶ μήτε διαστέλλεσθαι μήτε πιέζεσθαι δύνωνται ῥᾳδίως. τοῦτο γάρ ἐστι τὸ ποιοῦν τὴν τοῦ πνεύματος πληγὴν εὔρωστον,

ὅταν ὁ πνεύμων ἐκ πολλοῦ διαστήματος συνάγων αὐτὸν, ἐκθλίβῃ τὸν ἀέρα βιαίως. δῆλον δὲ τοῦτ' ἐστιν· οὐδὲ γὰρ τῶν ἄλλων μορίων οὐθὲν ἐκ μικρᾶς ἀποστάσεως δύναται ποιεῖσθαι τὴν πληγὴν ἰσχυράν. οὔτε γὰρ τῷ σκέλει δυνατόν ἐστιν οὔτε τῇ χειρὶ πατάξαι σφοδρῶς οὔτε ἀπορρῖψαι πόρρω τὸ πληγὲν, ἐὰν μή τις αὐτῶν ἑκατέρῳ ἐκ πολλοῦ λάβῃ τῆς πληγῆς τὴν ἀπόστασιν. εἰ δὲ μὴ, σκληρὰ μὲν ἡ πληγὴ γίγνεται διὰ τὴν συντονίαν, ἐκβιάζεσθαι δὲ οὐ δύναται πόρρω τὸ πληγέν. ἐπεὶ, οὐθ' οἱ καταπέλται μακρὰν δύνανται βάλλειν, οὐθ' ἡ σφενδόνη, οὔτε τόξον, ἂν ᾖ σκληρὸν καὶ μὴ δύνηται κάμπτεσθαι· μηδὲ τὴν ἀναγωγὴν ἡ νευρὰ λαμβάνειν ἐπὶ πολὺν τόπον. ἐὰν δὲ μέγας ὁ πνεύμων ᾖ καὶ μαλακὸς καὶ εὔτονος, πολὺν τὸν ἀέρα δύναται δέχεσθαι, καὶ τοῦτον ἐκπέμπειν πάλιν, ταμιευόμενος ὡς ἂν βούληται διὰ τὴν μαλακότητα, καὶ διὰ τὸ ῥᾳδίως αὐτὸν συστέλλειν. ἡ δὲ ἀρτηρία, μακρὰ μὲν ὅταν ᾖ καὶ στενὴ, χαλεπῶς ἐκπέμπουσιν ἔξω τὴν φωνὴν καὶ μετὰ βίας πολλῆς, διὰ τὸ μῆκος τῆς τοῦ πνεύματος φορᾶς. φανερὸν δὲ ἐστι· πάντα γὰρ τὰ τοὺς τραχήλους ἔχοντα μακροὺς, φθέγγεται βιαίως· οἷον οἱ χῆνες καὶ γέρανοι καὶ ἀλεκτρυόνες. μᾶλλον δὲ τοῦτο καταφανές ἐστιν ἐπὶ τῶν αὐλῶν. πάντες γὰρ χαλεπῶς πληροῦσι τοὺς βόμβυκας, καὶ μετ' ἐντονίας πολλῆς, διὰ τὸ μῆκος τῆς ἀποστάσεως. ἔτι δὲ τὸ πνεῦμα διὰ τὴν στενοχωρίαν ὅταν ἐκτὸς θλιβόμενον εἰς τὸν ἔξω τόπον ἐκπέσῃ, παραχρῆμα διαχεῖται καὶ σκεδάννυται, καθάπερ καὶ τὰ ῥεύματα φερόμενα διὰ τῶν ἀείπων· ὥστε μὴ δύνασθαι τὴν φωνὴν συμβαίνειν, μηδὲ διατείνειν ἐπὶ πολὺν τόπον. ἅμα δὲ καὶ δυσταμίευτον ἀνάγκη πάντων τῶν τοιούτων εἶναι τὸ πνεῦμα καὶ μὴ ῥᾳδίως ὑπηρετεῖν. ὅσων δέ ἐστι μέγα τὸ διάστημα τῆς ἀρτηρίας, τῶν τοιούτων ἔξω μὲν παραιτεῖσθαι συμβαίνει τὸ πνεῦμα ῥᾳδίως, ἐντὸς δὲ φερόμενον, διαχεῖσθαι διὰ τὴν εὐρυχωρίαν, καὶ τὴν φωνὴν

γίνεσθαι κενὴν καὶ μὴ συνεστῶσαν· ἔτι δὲ μὴ δύνασθαι διαιρεῖσθαι τῷ πνεύματι τοῖς τοιούτοις, διὰ τὸ μὴ συνερείδεσθαι τὴν ἀρτηρίαν αὐτῶν. ὅσων δὲ ἐστὶν ἀνωμάλως καὶ μὴ πανταχόθεν ἔχει τὴν διάστασιν ὁμοίαν, τούτοις ἀναγκαῖον ἁπασῶν μετέχειν τῶν δυσχερειῶν. καὶ γὰρ ἀνωμάλως αὐτοῖς ἀνάγκη τὸ πνεῦμα ὑπηρετεῖν καὶ θλίβεσθαι, καὶ καθ' ἕτερον τόπον διαχεῖσθαι πάλιν. βραχείας δὲ τῆς ἀρτηρίας οὔσης, ταχὺ μὲν ἀνάγκη τὸ πνεῦμα ἐκπίπτειν, καὶ τὴν πληγὴν ἰσχυροτέραν γίνεσθαι τὴν τοῦ ἀέρος, πάντας δὲ τοὺς τοιούτους ὀξύτερον φωνεῖν, διὰ τὸ τάχος τῆς τοῦ πνεύματος φορᾶς. οὐ μόνον δὲ συμβαίνει τὰς τῶν ἀγγείων διαφοράς, ἀλλὰ καὶ τὰ πάθη πάντα τὰς φωνὰς ὁμοιοῦν. ὅταν μὲν γὰρ ὦσιν ὑγρασίας πλήρη πολλῆς ὅ, τε πνεύμων καὶ ἡ ἀρτηρία, διασπᾶται τὸ πνεῦμα, καὶ οὐ δύναται φέρεσθαι εἰς τὸν ἔξω τόπον συνεχῶς, διὰ τὸ προσκόπτειν, καὶ γίνεσθαι παχὺ καὶ ὑγρὸν καὶ δυσκίνητον· καθάπερ καὶ περὶ τοὺς καταῤῥους καὶ τὰς μέθας. ἐὰν δὲ ξηρὸν ᾖ τὸ πνεῦμα παντελῶς, σκληροτέρα ἡ φωνὴ γίγνεται καὶ διεσπασμένη· συνέχει γὰρ ἡ νοτὶς ὅταν ᾖ λεπτή, τὸν ἀέρα, καὶ ποιεῖ τινα τῆς φωνῆς ἁπλότητα. τῶν μὲν οὖν ἀγγείων αἱ διαφοραὶ καὶ τῶν παθῶν τῶν περὶ αὐτὰ γιγνομένων τοιαύτας ἑκάστας τὰς φωνὰς ἀποτελοῦσιν· αἱ δὲ φωναὶ δοκοῦσι μὲν εἶναι καθ' οὓς ἂν ἕκασται γίγνωνται τόπους, ἀκούομεν δὲ πασῶν αὐτῶν ὅταν ἡμῖν προσπέσωσι πρὸς τὴν ἀκοήν. ὁ γὰρ ὠσθεὶς ὑπὸ τῆς πληγῆς ἀὴρ, μέχρι μέν τινος φέρεται συνεχής, ἔπειτα κατὰ μικρὸν ἀεὶ διαχεῖται μᾶλλον· καὶ τούτῳ γιγνώσκομεν πάντας τοὺς ψόφους καὶ τοὺς πόῤῥω γιγνομένους καὶ τοὺς ἐγγύς. δῆλον δὲ ἐστίν· ὅταν γὰρ τις λαβὼν κέραμον ἢ αὐλὸν ἢ σάλπιγγα, προσθείς τι ἑτέρῳ πρὸς τὴν ἀκοὴν, διὰ τούτων λέγῃ, πᾶσαι δοκοῦσιν αἱ φωναὶ παντελῶς εἶναι πλησίον τῆς ἀκοῆς, διὰ τὸ μὴ σκεδάννυσθαι τὸν ἀέρα φε-

ῥυθμὸν, ἀλλὰ διατηρεῖ τὴν φωνὴν ὁμοίαν ὑπὸ τοῦ περιέχοντος ὀργάνου. καθάπερ οὖν καὶ ἐπὶ τῆς γραφῆς, ὅταν τις τοῖς χρώμασι τὸ μὲν ὅμοιον ποιήσῃ τῷ πόρρω, τὸ δὲ, τῷ πλησίον, τὸ μὲν ἡμῖν ἀνακεχωρηκέναι δοκεῖ τῆς γραφῆς, τὸ δὲ, προέχειν, ἀμφοτέρων αὐτῶν ὄντων ἐπὶ τῆς αὐτῆς ἐπιφανείας· οὕτω καὶ ἐπὶ τῶν ψόφων τῆς φωνῆς, ὅταν ἡ μὲν ἤδη διαλελυμένη προσπίπτῃ πρὸς τὴν ἀκοὴν, ἡ δὲ ἦς συνεχὴς, ἀμφοτέρων αὐτῶν ἀφικνουμένων πρὸς τὸν αὐτὸν τόπον, ἡ μὲν ἀφεστηκέναι πόρρω δοκεῖ τῆς ἀκοῆς, ἡ δὲ, εἶναι σύνεγγυς· διὰ τὸ τὴν μὲν πόρρωθεν ὁμοιοῦσθαι, τὴν δὲ πλησίον. σαφεῖς δὲ μάλιστα αἱ φωναὶ γίγνονται παρὰ τὴν ἀκρίβειαν τὴν τῶν φθόγγων. ἀδύνατον γὰρ, μὴ πλέως τούτων διηρθρωμένων, τὰς φωνὰς εἶναι σαφεῖς· καθάπερ καὶ τὰς τῶν δακτυλίων σφραγῖδας, ὅταν μὴ διατυπωθῶσιν ἀκριβῶς. διόπερ οὔτε τὰ παιδία δύναται διαλέγεσθαι σαφῶς, οὔτε οἱ μεθύοντες, οὔτε οἱ γέροντες, οὔθ' ὅσοι φύσει ψελλοὶ τυγχάνουσιν ὄντες, οὔθ' ὅλως ὅσων εἰσὶν αἱ γλῶτται καὶ τὰ στόματα δυσκίνητα. ὥσπερ γὰρ καὶ τὰ χαλκεῖα καὶ τὰ κέρατα συνηχοῦντα ποιεῖ τοὺς ἀπὸ τῶν ὀργάνων φθόγγους ἀσαφεστέρους, οὕτως καὶ ἐπὶ τῆς διαλέκτου πολλὴν ἀσάφειαν ἀπεργάζεται τὰ ἐκπίπτοντα τοῦ πνεύματος ἐκ τοῦ σώματος, ὅταν μὴ διατυπωθῶσιν ὁμοίως· οὐ μόνον γὰρ ἑαυτῶν τινα παρεμφαίνουσιν ἀσάφειαν, ἀλλὰ καὶ τοῖς διηρθρωμένοις τῶν φθόγγων ἐμποδίζουσιν, ἀνομοίας αὐτῶν γιγνομένης τῆς περὶ τὴν ἀκοὴν κινήσεως. διὸ καὶ μᾶλλον ἑνὸς ἀκούοντες συνίεμεν, ἢ πολλῶν ἅμα ταὐτὰ λεγόντων· καθάπερ καὶ ἐπὶ τῶν χορδῶν· καὶ πολὺ ἧττον, ὅταν προσαυλῇ τις ἅμα καὶ κιθαρίζῃ, διὰ τὸ συγχεῖσθαι τὰς φωνὰς ὑπὸ τῶν ἑτέρων. ἥκιστα δὲ τοῦτο ἐπὶ τῶν συμφωνιῶν φανερόν ἐστιν· ἀμφοτέρους γὰρ ἀποκρύπτεσθαι συμβαίνει τοὺς ἤχους ὑπ' ἀλλήλων. ἀσαφεῖς μὲν οὖν φωναὶ γίγνονται·

διὰ τὰς εἰρημένας αἰτίας. λαμπραὶ δὲ γίνονται, καθάπερ ἐπὶ τῶν χρωμάτων. καὶ γὰρ ἐκεῖ τὰ μάλιστα δυνάμενα τὰς ὄψεις κινεῖν, ταῦτα εἶναι συμβαίνει τῶν χρωμάτων λαμπρότατα. τὸν αὐτὸν τρόπον, τῶν φωνῶν ταύτας ὑποληπτέον εἶναι λαμπροτάτας, ὅσαι μάλιστα δύνανται προσπίπτουσαι κινεῖν τὴν ἀκοήν. τοιαῦται δέ εἰσιν αἱ σαφεῖς καὶ πυκναὶ καὶ καθαραί, καὶ πόρρω δυνάμεναι διατείνειν. καὶ γὰρ ἐν τοῖς ἄλλοις αἰσθητοῖς ἅπασι τὰ ἰσχυρότερα καὶ πυκνότερα καὶ καθαρώτερα σαφεστέρας ποιεῖ τὰς αἰσθήσεις. δῆλον δέ· τὸ γὰρ τελευταῖον αἱ φωναὶ πᾶσαι γίνονται κωφαί, τοῦ ἀέρος ἤδη διακεχυμένου. δῆλον δέ ἐστι κἀπὶ τῶν αὐλῶν· τὰ γὰρ ἔχοντα τῶν δευτέρων τὰς γλώττας πλαγίας, μαλακωτέραν μὲν ἀποδίδωσι τὴν φωνήν, οὐχ ὁμοίως δὲ λαμπράν. τὸ γὰρ πνεῦμα φερόμενον, ἀθρόως εἰς εὐρυχωρίαν ἐμπίπτει, καὶ οὐκέτι φέρεται σύντονον, οὐδὲ συνεστηκός, ἀλλὰ διεσκεδασμένον. ἐν δὲ ταῖς σκληροτέραις γλώτταις ἡ φωνὴ γίνεται σκληροτέρα καὶ λαμπροτέρα, ἂν πιέσῃ τις αὐτὰς μᾶλλον τοῖς χείλεσι, διὰ τὸ φέρεσθαι τὸ πνεῦμα βιαιότερον. αἱ μὲν οὖν λαμπραὶ τῶν φωνῶν γίνονται διὰ τὰς εἰρημένας αἰτίας· παρὸ καὶ δοκοῦσιν οὐ χείρους εἶναι τῶν λευκῶν αἱ καλούμεναι φαιαί. πρὸς γὰρ τὰ πάθη καὶ τὰς πρεσβυτέρας ἡλικίας μᾶλλον ἁρμόττουσιν αἱ βαχύτεραι, καὶ μικρὸν ὑποσυγκεχυμέναι, καὶ μὴ λίαν ἔχουσαι τὸ λαμπρὸν ἐκφανές. ἅμα δὲ καὶ διὰ τὴν συντονίαν οὐχ ὁμοίως εἰσὶν ἀπειθεῖς. τὸ γὰρ βίᾳ φερόμενον, δυσταμίευτον. οὐδὲ γὰρ ἐπιτεῖναι ῥᾴδιον ὡς βούλεταί τις οὔτε ἀνιέναι. ἐπὶ δὲ τῶν αὐλῶν γίνονται αἱ φωναὶ λαμπραί, καὶ τῶν ἄλλων ὀργάνων, ὅταν τὸ ἐκπίπτον πνεῦμα πυκνὸν ᾖ καὶ σύντονον. ἀνάγκη γὰρ καὶ τοῦ ἔξωθεν ἀέρος τοιαύτας γίνεσθαι τὰς πληγάς, καὶ μάλιστα τὰς φωνὰς οὕτω διαπίμπτειν συνεστώσας πρὸς τὴν ἀκοήν, ὥσπερ καὶ τὰς ὀσμὰς καὶ τὸ φῶς καὶ τὰς θερμότητας. καὶ γὰρ πάντα ταῦτα ἀραιότερα

φαινόμενα πρὸς τὴν αἴσθησιν, ἀσημότερα γίγνεται· καθάπερ καὶ οἱ χυλοὶ κραθέντες τῷ ὕδατι καὶ ἑτέροις χυλοῖς. τὸ γὰρ ἑαυτοῦ παρέχον αἴσθησιν, ἀσαφεῖς ἑκάστῳ ποιεῖ τὰς δυνάμεις. ἀπὸ δὲ τῶν ἄλλων ὀργάνων οἱ τῶν κεράτων ἦχοι πυκνοὶ καὶ συνεχεῖς πρὸς τὸν ἀέρα προσπίπτοντες, ποιοῦσι τὰς φωνὰς ἀμαυράς· διὸ δὴ τὸ κέρας τὴν φύσιν ἔχειν τῆς αὐξήσεως ὁμαλὴν καὶ λείαν καὶ μὴ ταχέως ἐκδεδραμηκυῖαν. ἀνάγκη γὰρ μαλακώτερα τε χαυνότερα γίγνεσθαι τὰ τοιαῦτα τῶν κεράτων· ὥστε τοὺς ἤχους διασπᾶσθαι καὶ μὴ συνεχεῖς ἐκπίπτειν δι' αὐτῶν, μηδὲ γεγωνεῖν ὁμοίως διὰ τὴν μαλακότητα τε τὴν ἀραιότητα τῶν πόρων, μηδὲ πάλιν ἐπιδιαυξῇ τὴν φύσιν, μηδὲ τὴν σύμφυσιν ἔχειν πυκνὴν καὶ σκληρὰν καὶ διάφορον. καθ' ὅ,τι γὰρ ἂν προσκόψῃ φερόμενος ὁ ἦχος, αὐτοῦ λαμβάνει τὴν κατάπαυσιν, καὶ οὐκέτι προάγεται πρὸς τὸν ἔξω τόπον, ὥστε κωφοὺς καὶ ἀνωμάλους ἐκπίπτειν τοὺς ἤχους ἐκ τῶν τοιούτων κεράτων. ὅτι δὲ ἡ φορὰ γίγνεται κατὰ τὴν εὐθυπορείαν, φανερόν ἐστιν ἐπὶ τῶν ἱστῶν, καὶ ὅλως ἐπὶ τῶν ξύλων τῶν μεγάλων, ὅταν αὐτὰ βασανίζωσιν. ὅταν γὰρ κρούσωσιν ἐκ τοῦ ἑτέρου ἄκρου, κατὰ τὸ ἕτερον ὁ ἦχος φέρεται συνεχής, ἐὰν μή τι ἔχῃ σύντριμμα τὸ ξύλον· εἰ δὲ μή, μέχρι τούτου προελθών, αὐτοῦ καταπαύεται διασπασθείς. περικάμπτει δὲ καὶ τοὺς ὄζους, καὶ οὐ δυνατὸς δι' αὐτῶν εὐθυπορεῖν. κατάδηλον δὲ τοῦτο ἐστὶ καὶ ἐπὶ τῶν χαλκείων, ὅταν ῥινῶσι τὰς ἀπηρτημένας σολίδας τῶν ἀνδριάντων, ἢ τὰ πτερύγια τῷ συμμύειν· διὸ ῥοῖζον καὶ πολὺν ἦχον ἀφιᾶσι καὶ ψόφον. ἂν δέ τις αὐτὰ ταινίᾳ διαδήσῃ, παύεσθαι συμβαίνει τὸν ἦχον. ἕως γὰρ τούτου προελθὼν ὁ δρόμος, ὅταν προσκόψῃ πρὸς μαλακόν, αὐτοῦ ποιεῖται τὴν κατάπαυσιν, πολὺ δὲ τε ἡ ὄπτησις ἡ τῶν κεράτων συμβάλλεται καὶ πρὸς εὐφωνίαν. μᾶλλον μὲν γὰρ κατοπτηθέντα, παραπλήσιον τὸν ἦχον ἔχουσι τῷ κεράμῳ, διὰ τὴν σκληρό-

τητα καὶ τὴν σύγκαυσιν. ἐὰν δέ τις αὐτὰ καταδεέστερον ὀπτήσῃ, ἁπαλώτερον μὲν ἀφίησι διὰ τὴν μαλακότητα τὸν ἦχον, οὐ δύναται δὲ χωρεῖν ὁμοίως. διὸ καὶ τὰς ἡλικίας ἐκλέγονται. τὰ μὲν γὰρ τῶν γερόντων, ἐστὶ ξηρὰ καὶ πεπωρωμένα καὶ χαῦνα, τὰ δὲ τῶν νέων, ἁπαλὰ παντελῶς, καὶ πολλὴν ἔχοντα ἐν αὐτοῖς ὑγρασίαν. δεῖ δὲ εἶναι, καθάπερ εἴρηται, τὸ κέρας ξηρὸν καὶ πυκνὸν ὁμαλῶς καὶ εὐθύπορον καὶ λεῖον. οὕτω γὰρ ἂν μάλιστα συμβαίνοι καὶ τοὺς ἤχους πυκνοὺς καὶ λείους καὶ ὁμαλοὺς φέρεσθαι δι᾽ αὐτῶν, καὶ τοῦ ἔξωθεν ἀέρος τὰς πληγὰς γίγνεσθαι τοιαύτας. ἐπεὶ καὶ τῶν χορδῶν εἰσὶν αἱ λειόταται, βέλτισται, καὶ τοῖς πᾶσιν ὁμαλώταται· καὶ τὴν κατεργασίαν ἔχουσι πάντοθεν ὁμοίαν, καὶ τὰς συμβολὰς ἀδήλους τὰς τῶν νεύρων. οὕτω γὰρ συμβαίνει καὶ ταύτας ποιεῖσθαι τὰς τοῦ ἀέρος πληγὰς ὁμοιοτάτας. δεῖ δὲ καὶ τῶν αὐλῶν εἶναι τὰς γλώττας πυκνὰς καὶ λείας καὶ ὁμαλάς, ὅπως ἂν καὶ τὸ πνεῦμα διαπορεύηται δι᾽ αὐτῶν λεῖον καὶ ὁμαλὸν καὶ μὴ διεσπασμένον. διὸ καὶ τὰ βεβρεγμένα τῶν ζευγῶν καὶ τὰ πεπωκότα τὸ σίαλον, εὐφωνότερα γίγνεται· τὰ δὲ ξηρά, κακόφωνα. ὁ γὰρ ἀὴρ διὰ ὑγροῦ καὶ λείου φέρεται μαλακὸς καὶ ὁμαλός. δῆλον δέ· καὶ γὰρ αὐτὸ τὸ πνεῦμα ὅταν ἔχῃ νοτίδα, πολὺ ἧττον προσκόπτει πρὸς τὰ ζεύγη καὶ διασπᾶται· τὸ δὲ ξηρόν, μᾶλλον ἀντιλαμβάνεται, καὶ τὴν πληγὴν ποιεῖται σκληροτέραν, διὰ τὴν βίαν. αἱ μὲν οὖν διαφοραὶ τῶν ἤχων γίγνονται διὰ τὰς εἰρημένας αἰτίας. σκληραὶ δέ εἰσι τῶν φωνῶν ὅσαι βιαίως πρὸς τὴν ἀκοὴν προσπίπτουσι· διὸ καὶ μάλιστα παρέχουσι τὸν τόνον. τοιαῦται δέ εἰσιν αἱ δυσκινητότεραι καὶ μετὰ πλείστης φερόμεναι βίας. τὸ γὰρ ὑπεῖκον ταχέως, οὐ δύναται τὴν πληγὴν ὑπομένειν, ἀλλ᾽ ἀποπηδᾷ πρότερον. δῆλον δέ· τὰ γὰρ ὑπέρογκα τῶν βροντῶν βιαιοτάτην φέρεται τὴν φοράν, καὶ τὰ ῥεύματα φε-

ῥόμενα διὰ τῶν λείων· καὶ γὰρ ταῦτα γίγνεται σφοδρότατα περὶ αὐτὰς τὰς στενοχωρίας, οὐ δυνάμενα ταχέως ὑπείκειν, ἀλλὰ ὑπὸ πολλῆς ὠθούμενα βίας. ὁμοίως δὲ τοῦτο συμβαίνει καὶ περὶ τὰς φωνὰς καὶ τοὺς ψόφους. φανερὸν δέ ἐστι· πάντες γὰρ οἱ βίαιοι, γίγνονται σκληροί. καθάπερ καὶ τῶν κιβωτίων καὶ τῶν στροφέων, ὅταν ἀνοίγωνται βιαίως, καὶ τοῦ χαλκοῦ καὶ τοῦ σιδήρου. καὶ γὰρ ἀπὸ τῶν ἀκμόνων γίγνεται σκληρὸς καὶ μαλακός, ὅταν ἐλαύνωσι κατεψυγμένον τε σκληρὸν ἤδη τὸν σίδηρον. ἔτι δὲ ἀπὸ τῆς ῥίνης, ὅταν ῥινῶσι καὶ χαράττωσι τὰ σιδήρια καὶ τοὺς πρίονας. ἐπεὶ καὶ τῶν βροντῶν αἱ βιαιόταται γίγνονται σκληρόταται, καὶ τῶν ὑδάτων τὰ καλούμενα ῥαγδαῖα τὴν βίαν. ἡ μὲν γὰρ ταχυτὴς τοῦ πνεύματος, ποιεῖ τὴν φωνὴν ὀξεῖαν, ἡ δὲ βία, σκληράν. διόπερ οὐ μόνον συμβαίνει τοῖς αὐτοῖς ὁτὲ μὲν ὀξυτέραν, ὁτὲ δὲ βαρυτέραν, ἀλλὰ καὶ σκληροτέραν καὶ μαλακωτέραν. καίτοι τινὲς ὑπολαμβάνουσι, διὰ τὴν σκληρότητα τῶν ἀρτηριῶν, τὰς φωνὰς γίγνεσθαι σκληράς, διαμαρτάνοντες· τοῦτο μὲν γὰρ βραχύ τι συμβάλλεται παντελῶς· ἀλλ' ἡ τοῦ πνεύματος γιγνομένη πληγὴ βιαίως ὑπὸ τοῦ πνεύμονος. ὥσπερ γὰρ καὶ τὰ σώματα, τῶν μέν ἐστιν ὑγρὰ καὶ μαλακά, τῶν δέ, σκληρὰ καὶ σύντονα· τὸν αὐτὸν τρόπον τε ὁ πνεύμων. διόπερ τῶν μέν, μαλακὸν ἐκπίπτει τὸ πνεῦμα, τῶν δέ, σκληρὸν καὶ βίαιον. ἐπεὶ διότι γε τὴν ἀρτηρίαν αὐτὴν μικράν τινα συμβαίνει παρέχεσθαι δύναμιν, ῥᾴδιον συνιδεῖν. οὐδεμία γάρ ἐστιν ἀρτηρία σκληρὰ τοῖς αὐλοῖς ὁμοίως· ἀλλ' οὐθὲν ἧττον δι' αὐτοῦ καὶ διὰ τούτων φερομένου τοῦ πνεύματος, οἱ μέν, μαλακῶς αὐλοῦσιν, οἱ δέ, σκληρῶς· δῆλον δὲ τοῦτ' ἔστι καὶ ἐπ' αὐτῆς τῆς αἰσθήσεως. καὶ γὰρ ἂν ἐπιτείνῃ τις τὸ πνεῦμα βιαιότερον, εὐθέως ἡ φωνὴ γίγνεται σκληροτέρα διὰ τὴν βίαν, κἂν ᾖ μαλακωτέρα. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῆς σάλπιγγος· διὸ

καὶ πάντες, ὅταν κωμάζωσιν, ἀνιᾶσιν ἐν τῇ σάλπιγγι τὴν τοῦ πνεύματος συντονίαν, ὅπως ἂν ποιῶσι τὸν ἦχον ὡς μαλακώτατον. φανερὸν δέ ἐστι καὶ ἐπὶ τῶν ὀργάνων· καὶ γὰρ αἱ κατεσκραμμέναι χορδαὶ, καθάπερ εἴρηται, τὰς φωνὰς ποιοῦσι σκληροτέρας, καὶ τὰ κατωπτημένα τῶν κεράτων. κἄν τις ἅπτηται τῶν χορδῶν τῇ χειρὶ βιαίως καὶ μὴ μαλακῶς, ἀνάγκη καὶ τὴν ἀνταπόδοσιν αὐταῖς οὕτω πάλιν ποιεῖσθαι βιαιοτέραν. αἱ δὲ ἧττον κατεσκραμμέναι, καὶ τὰ ὠμότερα τῶν κεράτων, τὰς φωνὰς ποιεῖ μαλακωτέρας, καὶ τὰ μακρότερα τῶν ὀργάνων. αἱ γὰρ τοῦ ἀέρος πληγαὶ, καὶ βραδύτεραι καὶ μαλακώτεραι γίγνονται, διὰ τὰ μήκη τῶν τόπων. αἱ δ' ἐπὶ τῶν βαρυτέρων, σκληρότεραι, διὰ τὴν κατάτασιν τῶν χορδῶν. δῆλον δ' ἐστί· καὶ γὰρ αὐτοῦ τοῦ ὀργάνου σκληροτέρας συμβαίνει γίγνεσθαι τὰς φωνὰς, ὅταν μὴ κατὰ μέσον τις ἅπτηται τῶν χορδῶν, διὰ τὸ μᾶλλον αὐτὴν τὰ πρὸς αὐτῷ τῷ ζυγῷ καὶ τῷ χορδοτόνῳ κατατετάσθαι. συμβαίνει δὲ καὶ τὰ ναρθήκινα τῶν ὀργάνων τὰς φωνὰς ἔχειν ἁπαλωτέρας. οἱ γὰρ ἦχοι προσπίπτοντες, οὐχ ὁμοίως ἀποπηδῶσι μετὰ βίας. τραχύνεσθαι δὲ συμβαίνει τὰς φωνὰς ὅταν ἡ πληγὴ μία γίνηται τοῦ ἀέρος παντὸς, ἀλλὰ πολλαχῆ κατὰ μικρὰ διεσπασμένη. καθ' αὐτὸ γὰρ ἕκαστον τῶν τοῦ ἀέρος μορίων προσπῖπτον πρὸς τὴν ἀκοὴν ὡς ἂν ἀπὸ πληγῆς ἑτέρας, οὐ διεσπασμένην ποιεῖ τὴν αἴσθησιν, ὥστε τὴν μὲν, διαλείπειν τὴν φωνὴν, τὴν δὲ, προσπίπτειν βιαιότερον, καὶ γίγνεσθαι τὴν ἁφὴν τῆς ἀκοῆς ἀνομοίαν. ὥσπερ καὶ ὅταν τι τῶν τραχέων ἡμῖν προσπίπτῃ πρὸς τὸν χρῶτα. μάλιστα δὲ τοῦτο συμφανές ἐστιν ἐπὶ τῆς ῥίνης. διὰ γὰρ τὸ τὴν τοῦ ἀέρος πληγὴν ἅμα γίγνεσθαι, κατὰ μικρὰ καὶ πολλὰ τραχεῖς οἱ ψόφοι προσπίπτουσιν ἀπ' αὐτῆς πρὸς τὴν ἀκοήν· καὶ μᾶλλον, ὅταν πρὸς σκληρόν τι παρατρίβωνται· καθάπερ καὶ ἐπὶ τῆς ἁφῆς· τὰ γὰρ σκληρὰ καὶ τραχέα βιαιότερον ποιεῖται τὴν αἴσθησιν. δῆλον

δὲ τοῦτο ὅτι καὶ ἐπὶ τῶν ῥευμάτων· τοῦ γὰρ ἐλαίου γίνεται πολὺ
πάντων τῶν ὑγρῶν ὁ ψόφος ἀδηλότερος, διὰ τὴν συνέχειαν
τὴν τῶν μορίων. λεπταὶ δέ εἰσι τῶν φωνῶν, ὅταν ὀλίγον ᾖ τὸ
πνεῦμα τὸ ἐκπῖπτον. διὸ καὶ τῶν παιδίων γίνονται λεπταί, καὶ
τῶν γυναικῶν καὶ τῶν εὐνούχων· ὁμοίως δὲ καὶ τῶν διαλελυμένων
διὰ νόσον, ἢ πόνον, ἢ ἀτροφίαν. οὐ δύνανται γὰρ πολὺ τὸ πνεῦ-
μα διὰ τὴν ἀσθένειαν ἐκπέμπειν. δῆλον δὲ ὅτι κἀπὶ τῶν χορ-
δῶν· ἀπὸ γὰρ τῶν λεπτῶν καὶ τὰ φώνια γίνεται λεπτὰ καὶ στε-
νὰ καὶ τριχώδη, διὰ τὸ καὶ τοῦ ἀέρος τὴν πληγὴν γίνεσθαι κατὰ
στενόν. οἵας γὰρ ἂν τὰς ἀρχὰς ἔχωσι τῆς κινήσεως αἱ τοῦ ἀέρος
πληγαί, τοιαύτας καὶ τὰς φωνὰς συμβαίνει γίνεσθαι προσπι-
πτούσας πρὸς τὴν ἀκοήν, οἷον, ἀραιὰς ἢ πυκνάς, ἢ μαλακὰς
ἢ σκληράς, ἢ λεπτὰς ἢ παχείας. ἀεὶ γὰρ ὁ ἕτερος ἀὴρ τὸν ἕ-
τερον κινῶν ὡσαύτως, ποιεῖ τὴν φωνὴν ἅπασαν ὁμοίαν· κα-
θάπερ ἔχει καὶ ἐπὶ τῆς ὀξύτητος καὶ τῆς βαρύτητος· καὶ γὰρ τὰ
τάχη τὰ τῆς πληγῆς, τὰ ἕτερα τοῖς ἑτέροις συνακολουθοῦντα,
διαφυλάττει τὰς φωνὰς ταῖς ἀρχαῖς ὁμοίως. αἱ δὲ πληγαὶ
γίνονται μὲν τοῦ ἀέρος ὑπὸ τῶν χορδῶν, πολλαὶ καὶ κεχωρισμέ-
ναι, διὰ δὲ μικρότητα τοῦ μεταξὺ χρόνου, τῆς ἀκοῆς μὴ δυ-
ναμένης συναισθάνεσθαι τὰς διαλείψεις, μία καὶ συνεχὴς
ἡμῖν ἡ φωνὴ φαίνεται, καθάπερ καὶ ἐπὶ τῶν χρωμάτων· καὶ γὰρ
τούτων τὰ διεστηκότα δοκεῖ πολλάκις ἡμῖν συνάπτειν ἀλλήλοις,
ὅταν φέρωνται ταχέως. τὸ δὲ αὐτὸ συμβαίνει τοῦτο καὶ περὶ
τὰς συμφωνίας. διὰ γὰρ τὸ περιλαμβάνεσθαι τοὺς
ἑτέρους ἤχους ὑπὸ τῶν ἑτέρων, καὶ γίνεσθαι τὰς καταπαύ-
σεις τῶν ἅμα, λανθάνουσιν ἡμᾶς αἱ μεταξὺ γινόμεναι φωναί.
πλεονάκις μὲν γὰρ ἐν πάσαις ταῖς συμφωνίαις ὑπὸ τῶν ὀ-
ξυτέρων φθόγγων αἱ τοῦ ἀέρος γίνονται πληγαὶ διὰ τὸ τά-
χος τῆς κινήσεως· τὸν δὲ τελευταῖον τῶν ἤχων ἅμα συμβαίνει
προσπίπτειν ἡμῖν πρὸς τὴν ἀκοὴν καὶ τὸν ἀπὸ τῆς βραδυ-

πέρας γιγνόμενον. ὥσπερ τῆς ἀκοῆς οὐ δυναμένης αἰσθάνεσθαι, καθάπερ εἴρηται, τὰς μεταξὺ φωνάς, ἅμα δοκοῦμεν ἀμφοτέρων τῶν φθόγγων ἀκούειν συνεχῶς. παχεῖαι δ' εἰσὶ τῶν φωνῶν τοὐναντίον, ὅταν ᾖ τὸ πνεῦμα πολὺ καὶ ἀθρόον ἐκπίπτον· διὸ καὶ τῶν ἀνδρῶν εἰσὶ παχύτεραι καὶ τῶν τελείων αὐλῶν. καὶ μᾶλλον ὅταν πληρώσῃ τις αὐτοὺς τοῦ πνεύματος. φανερὸν δέ ἐστι· καὶ γὰρ ἂν πιέσῃ τὰ ζεύγη, μᾶλλον ὀξυτέρα ἡ φωνὴ γίγνεται καὶ λεπτοτέρα. κἂν καταστάσῃ τις τὰς σύριγγας, κἂν δὲ ἐπιλάβῃ, παμπλείων ὁ ὄγκος γίγνεται τῆς φωνῆς διὰ τὸ πλῆθος τοῦ πνεύματος· καθάπερ καὶ ἀπὸ τῶν παχυτέρων χορδῶν. παχεῖαι δὲ γίγνονται καὶ τῶν ῥαγιζόντων καὶ τῶν βραγχώντων, καὶ μετὰ τοὺς ἐμέτους, διὰ τὴν τῆς ἀρτηρίας, καὶ διὰ τὸ μὴ ἀπεξάγειν, ἀλλ' αὐτὴν προσκόπτουσαν ἀνειλεῖσθαι τὴν φωνὴν καὶ λαμβάνειν ὄγκον· καὶ μάλιστα διὰ τὴν ὑγρότητα τοῦ σώματος. λιγυραὶ δέ εἰσι τῶν φωνῶν, αἱ λεπταὶ καὶ πυκναί, καθάπερ καὶ ἐπὶ τῶν τεττίγων καὶ τῶν ἀκρίδων καὶ τῶν ἀηδόνων, καὶ ὅλως ὅσαις λεπταῖς οὔσαις μηδεὶς ἀλλότριος ἦχος παρακολουθεῖ. ὅλως γὰρ οὐκ ἔστιν οὔτ' ἐν ὄγκῳ φωνῆς τὸ λιγυρόν, οὔτ' ἐν τόνοις ἀνειμένοις καὶ βαρέσιν, οὔτ' ἐν ταῖς τῶν φθόγγων ἁφαῖς, ἀλλὰ μᾶλλον ὀξύτητι καὶ λεπτότητι καὶ ἀκριβείᾳ. διὸ καὶ τῶν ὀργάνων τὰ λεπτὰ καὶ σύντονα καὶ μὴ ἔχοντα κέρας, τὰς φωνὰς ἔχει λιγυρωτέρας. ὁ γὰρ ἀπὸ τῶν ὑδάτων ἦχος καὶ ὅλως ὅταν ἀπό τινος γιγνόμενος παρακολουθῇ, συνέχει τὴν ἀκρίβειαν τὴν τῶν φθόγγων. σαθραὶ δέ εἰσι καὶ παρερρυηκυῖαι τῶν φωνῶν, ὅσαι μέχρι ἑνὸς φερόμεναι συνεχεῖς, διασπῶνται. φανερώτατον δὲ τοῦτο ἐστὶν ἐπὶ τοῦ κεράμου. πᾶς γὰρ ὁ ἐκ πληγῆς ῥαγείς, ποιεῖ τὸν ἦχον σαθρόν, διασπωμένης τῆς κινήσεως τῆς κατὰ τὴν πληγήν, ὥστε μηκέτι γίγνεσθαι τοὺς ἐκπίπτοντας ἤχους συνε-

χεῖς. ὁμοίως δὲ τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν ἐῤῥωγότων κεράτων καὶ ἐπὶ τῶν χορδῶν τῶν παρατεινομένων. ἐπὶ πάντων γὰρ τῶν τοιούτων μέχρι μέν τινος ὁ ἦχος φέρεται συνεχής, ἔπειτα διασπᾶται, καθ' ὅ,τι ἂν ᾖ μὴ συνεχὲς τὸ ὑποκείμενον, ὥστε μὴ μίαν γίγνεσθαι πληγὴν, ἀλλὰ διεσπασμένην, καὶ φαίνεσθαι τὸν ἦχον σαθρόν. σχεδὸν γὰρ παραπλήσιαι τυγχάνουσιν οὖσαι ταῖς βραχείαις· πλὴν ἐκεῖναι μέν εἰσιν ἀπ' ἀλλήλων κατὰ μικρὰ μέρη διεσπασμέναι, τῶν δὲ σαθρῶν αἱ πλεῖσται τὰς μὲν ἀρχὰς ἔχουσι συνεχεῖς, ἔπειτ' εἰς πλείω μέρη τὴν διαίρεσιν λαμβάνουσι. δασεῖαι δέ εἰσι τῶν φωνῶν ὅσαις ἔσωθεν τὸ πνεῦμα εὐθέως συνεκβάλλομεν μετὰ τῶν φθόγγων. ψιλαὶ δέ εἰσι τοὐναντίον, ὅσαι γίγνονται χωρὶς τῆς τοῦ πνεύματος ἐκβολῆς. ἀπορρήγνυσθαι δὲ συμβαίνει τὰς φωνὰς ὅταν μηκέτι δύνωνται τὸν ἀέρα μετὰ πληγῆς ἐκπέμπειν, διὸ ὁ περὶ τὸν πνεύμονα τόπος αὐτῶν ὑπὸ τῆς διαστάσεως ἐκβληθῇ. ὥσπερ γὰρ καὶ τὰ σκέλη καὶ τοὺς ὤμους ἐκλύεσθαι συμβαίνει τὸ τελευταῖον συντόνως, οὕτως καὶ τὸν περὶ τὸν πνεύμονα τόπον. κοῦφον γὰρ ἔξω φέρεσθαι τὸ πνεῦμα, διὰ τὸ μὴ γίνεσθαι βίαιον αὐτοῦ τὴν πληγήν· ἅμα δὲ καὶ διὰ τὸ πεπαγῆναι τὴν ἀρτηρίαν αὐτῶν ἰσχυρῶς, οὐ δύναται τὸ πνεῦμα ἔξω φέρεσθαι συνεχὲς, ἀλλὰ διεσπασμένον, ὡς ἀπερρωγυίας γίγνεσθαι τὰς φωνὰς αὐτῶν. καί τινες οἴονται διὰ τὴν τοῦ πνεύμονος γλισχρότητα, τὸ πνεῦμα οὐ δύνασθαι περαιοῦσθαι περὶ τὸν ἔξω τόπον, διαμαρτάνοντες· φθέγγονται μὲν γὰρ, ἀλλ' οὐ δύνανται γεγωνεῖν· διὰ τὸ μὴ γίνεσθαι μετὰ συντονίας τὴν τοῦ ἀέρος πληγὴν, ἀλλὰ μόνον φωνοῦσιν, ὡς ἂν ὑπ' αὐτοῦ τοῦ φάρυγγος τὸ πνεῦμα βιαζόμενον. τῶν δ' ἰσχνοφώνων, οὔτε περὶ τὰς φλέβας, οὔτε περὶ τὰς ἀρτηρίας ἐστὶ τὸ πάθος, ἀλλὰ

περὶ τὴν κίνησιν τῆς γλώττης. χαλεπῶς γὰρ αὐτὴν μεταφέρουσιν, ὅταν ἕτερον δέῃ φθόγγον εἰπεῖν. διὸ καὶ πολὺν χρόνον τὸ αὐτὸ ῥῆμα λέγουσιν, οὐ δυνάμενοι τὸ ἑξῆς εἰπεῖν· ἀλλὰ συνεχῶς τῆς κινήσεως καὶ τοῦ πνεύματος αὐτῶν ἐπὶ τὴν αὐτὴν ὁρμὴν φερομένου διὰ τὸ πλῆθος καὶ τὴν βίαν τοῦ πνεύματος. ὥσπερ γὰρ καὶ τὸ σῶμα ὅλον τῶν τρεχόντων βιαίως, χαλεπόν ἐστιν ἐκ τῆς ὁρμῆς εἰς ἄλλην κίνησιν μεταστῆσαι, τὸν αὐτὸν τρόπον καὶ κατὰ μέρος. διὸ καὶ πολλάκις τὸ μὲν ἑξῆς εἰπεῖν οὐ δύνανται, τὸ δὲ μετὰ τοῦτο λέγουσι ῥαδίως, ὅταν ἄλλην ποιήσωνται τῆς κινήσεως ἀρχήν. δῆλον δέ ἐστι· καὶ γὰρ τοῖς ὀργιζομένοις τοῦτο συμβαίνει πολλάκις διὰ τὸ βίαιον αὐτῶν γίγνεσθαι τὴν τοῦ πνεύματος φοράν.

ΕΚ ΤΩΝ ΑΡΧΥΤΑ

τοῦ Πυθαγορείου, ἐν ἀρχῇ τοῦ περὶ μαθηματικῆς.

Καλῶς μοι δοκοῦντι τοὶ περὶ τὰ μαθήματα διαγνῶναι, καὶ οὐθὲν ἄτοπον ὀρθῶς αὐτοὺς περὶ ἑκάστου θεωρεῖν. περὶ γὰρ τᾶς τῶν ὅλων φύσιος καλῶς διαγνόντες, ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος οἷα ἐντὶ ὄψεσθαι· περί τε δὴ τᾶς τῶν ἄστρων ταχυτᾶτος καὶ ἐπιτολᾶν καὶ δύσιων παρέδωκαν ἁμῖν διάγνωσιν, καὶ περὶ γαμετρίας καὶ ἀριθμῶν, καὶ οὐχ ἥκιστα περὶ μουσικᾶς. ταῦτα γὰρ τὰ μαθήματα δοκοῦντι εἶμεν ἀδελφεά. πρᾶτον μὲν οὖν ἐσκέψαντο ὅπως δυνατόν ἐστιν εἶμεν ψόφον

μὴ γενηθείσας

μὴ γενηθείσας πλαγᾶς εἶναι ποτ' ἄλλαλα· πλαγὰν δὲ ἔφαν γίνεσθαι ὄκκα τὰ φερόμενα ἀπαντ' ἄξαντα ἀλλάλοις συμπέτῃ. τὰ μὲν οὖν ἀντίαν φορὰν φερόμενα, ἀπαντιάζοντα αὐτὰ αὐτοῖς συγχαλᾶν· τὰ δ' ὁμοίως φερόμενα, μὴ ἴσῳ δὲ τάχει περικαταλαμβανόμενα, παρὰ τῶν ἐπιφερομένων τυπτόμενα, ποιεῖν ψόφον. πολλοὺς μὲν δὴ αὐτῶν οὐκ εἶμεν ἁμῖν τᾷ φύσει οἷόντε γιγνώσκεσθαι, τοὺς μὲν, διὰ τὰν ἀσθένειαν τᾶς πλαγᾶς· τοὺς δὲ, καὶ διὰ τὸ μᾶκος τᾶς ἀφ' ἁμῶν ἀποστάσιος· εἶναι δὲ καὶ διὰ τὰν ὑπερβολὰν τῶ μεγέθεος. οὐ γὰρ παραδύεσθαι ἐς τὰν ἀκοὰν ἁμῖν τὼς μεγάλως τῶν ψόφων. ὥσπερ οὐδὲ τὰ σύστομα τῶν τευχέων, ὅκκα πολύ τις ἐγχέῃ, οὐδὲν ἐγχεῖται. τὰ μὲν οὖν ποτιπίπτοντα ποτὶ τὰν αἴσθασιν, ἃ μὲν ἀπὸ τᾶν πλαγᾶν ταχὺ παραγίνεται καὶ ὀξέα φαίνεται, τὰ δὲ, βραδέως καὶ ἀσθενέως, βαρέα δοκοῦντι εἶμεν. αἰ γάρ τις ῥάβδον λαβὼν κινοῖ νωθρῶς καὶ ἀσθενέως, τᾷ πλαγᾷ βαρὺν ποιήσει τὸν ψόφον· αἰ δέ κα ταχύ τε καὶ ἰσχυρῶς, ὀξύν. οὐ μόνον δὲ κατὰ τοῦτο γνοίημεν, ἀλλὰ καὶ ὄκκα ἄμες ἢ λέγοντες ἢ ἀείδοντες χρήζομες μέγα φθέγξασθαι καὶ ὀξὺ, σφοδρῷ τῷ πνεύματι φθεγγόμενοι. ἔτι δὲ καὶ τοῦτο συμβαίνει, ὥσπερ ἐπὶ βελῶν, τὰ μὲν ἰσχυρῶς ἀφιέμενα, πρόσω φέρεται· τὰ δὲ ἀσθενέως, ἐγγύς. τοῖς γὰρ ἰσχυρῶς φερομένοις μᾶλλον ὑπακούει ὁ ἀὴρ, τοῖς δὲ ἀσθενέως, ἧσσον. τοῦτο δὴ καὶ ταῖς φωναῖς συμβήσεται. τὰ μὲν ὑπὸ τῶ πνεύματος φερόμενα, μεγάλα τε εἶμεν καὶ ὀξέα· τὰ δὲ ὑπὸ ἀσθενέος, μικκά τε καὶ βαρέα. ἀλλὰ μὰν καὶ τούτω γα κατίδομες ἰσχυρῷ τῷ σαμείῳ ὅτι τῶ αὐτῶ φθεγξαμένω, μέγα μὲν πόρρωθεν κἀκούσαιμες· μικκὸν δὲ, οὐδ' ἐγγύθεν. ἀλλὰ μὰν καὶ ἔν γα τοῖς αὐλοῖς, τὸ ἐκ τῶ στόματος φερόμενον πνεῦμα, ἐς μὲν τὰ ἐγγὺς τῶ στόματος τρυπήματα ἐμπῖπτον, διὰ τὰν ἰσχὺν τὰν σφοδρὰν, ὀξύτερον ἀχεῖ ἀφίησιν· ὡς δὲ τὰ πόρσω, βαρύτερον. ὥστε δῆλον ὅτι ἁ ταχεῖα κίνησις, ὀξὺ ποιεῖ· ἁ δὲ βραδεῖα,

βαρὺν τὸν ἆχον. ἀλλὰ μὰν καὶ τοῖς ῥόμβοις τοῖς ἐν ταῖς τελεταῖς κινουμένοις τὸ αὐτὸ συμβαίνει. ἥσυχα μὲν κινούμενοι, βαρὺν ἀφίεντι ἆχον· ἰσχυρῶς δὲ, ὀξύν. ἀλλὰ μὰν καὶ ὁ γα κάλαμος, αἴ κα τις αὐτῶ τὸ κάτω μέρος ἀποφράξας ἐμφυσῇ, ἀφήσει τινὰ ἁμῖν φωνάν· αἰ δὲ καὶ ἐς τὸ ἥμισυ, ἢ ὁπόσον μέρος αὐτῶ, ὀξὺ φθεγξεῖται. τὸ γὰρ αὐτὸ πνεῦμα διὰ μὲν τῶ μακρῶ τόπω, ἀσθενὲς φέρεται, διὰ δὲ τῶ μείονος, σφοδρόν.

Τοῦ αὐτοῦ.

Τοσοῦτον διαφέρει σοφία ἐν πάντεσσι τοῖς ἀνθρωπίνοις πράγμασιν, ὡς ὄψις μὲν αἰσθασίων σώματος, νόος δὲ ψυχᾶς. ὄψις τε γὰρ ἐπιβολεστέρα καὶ πολυειδεστέρα τῶν ἄλλων αἰσθασίων ἐστὶ, καὶ νόος ὕπατος τὸ δέον ἐπικραίνων.

ΘΕΟΦΡΑΣΤΟΥ ΗΘΙκοὶ χαρακτῆρες,

Εἰρωνείας, Κολακείας, Ἀδολεσχίας, Ἀγροικίας, Ἀρεσκείας, Ἀπονοίας, Λαλιᾶς, Λογοποιίας, Ἀναισχυντίας, Μικρολογίας, Βδελυρίας, Ἀκαιρείας, Περιεργίας, Ἀναισθησίας, Αὐθαδείας, Δεισιδαιμονίας, Μεμψιμοιρίας, Ἀπιστίας, Δυσχερείας, Ἀηδίας, Μικροφιλοτιμίας, Ἀνελευθερίας, Ἀλαζονείας.

ΗΔΗ μὲν καὶ πρότερον πολλάκις ἐπιστήσας τὴν διάνοιαν, ἐθαύμασα, ἴσως δὲ οὐδὲ παύσομαι θαυμάζων, τί γὰρ δήποτε τῆς Ἑλλάδος ὑπὸ τὸν αὐτὸν ἀέρα κειμένης, καὶ πάντων τῶν Ἑλλήνων ὁμοίως παιδευομένων, συμβέβηκεν ἡμῖν οὐ τὴν αὐτὴν τάξιν τῶν τρόπων ἔχειν. ἐγὼ γάρ, ὦ Πολύκλεις, συνθεωρήσας ἐκ πολλοῦ τὴν ἀνθρωπίνην φύσιν, καὶ βεβιωκὼς ἔτη ἐννενήκοντα ἐννέα, ἔτι δὲ ὡμιληκὼς πολλαῖς τε καὶ παντοδαπαῖς φύσεσι, καὶ παρατεθεαμένος ἐξ ἀκριβείας πολλῆς τούς τε ἀγαθοὺς τῶν ἀνθρώπων καὶ τοὺς φαύλους, ὑπέλαβον δεῖν συγγράψαι ἃ ἑκάτεροι αὐτῶν ἐπιτηδεύουσιν ἐν τῷ βίῳ. ἐκθήσω δέ σοι κατὰ γένος, ὅσα τε τυγχάνει γένη τρόπων τούτοις προσκείμενα, καὶ ὃν τρόπον τῇ οἰκονομίᾳ χρῶνται. ὑπολαμβάνω γάρ, ὦ Πολύκλεις, τοὺς υἱοὺς ἡμῶν βελτίους ἔσεσθαι, καταλειφθέντων αὐτοῖς ὑπομνημάτων τοιούτων· οἷς παραδείγμασι χρώμενοι, αἱρήσονται τοῖς εὐσχημονεστάτοις συνεῖναί τε καὶ ὁμιλεῖν, ὅπως μὴ καταδεέστεροι ὦσιν αὐτῶν. τρέψομαι δὲ ἤδη ἐπὶ τὸν λόγον. σὸν δέ, παρακολουθῆσαί τε καὶ εἰδῆσαι εἰ ὀρθῶς λέγω. πρῶτον μὲν οὖν ποιήσομαι τὸν λόγον ἀπὸ τῶν τὴν εἰρωνείαν ἐζηλωκότων,

ἀφεὶς τὸ προοιμιάζεσθαι, καὶ πολλὰ περὶ τοῦ πράγματος λέγειν. καὶ ἄρξομαι πρῶτον ἀπὸ τῆς εἰρωνείας, καὶ ὁριοῦμαι αὐτήν· εἶθ' οὕτως τὸν εἴρωνα διέξειμι, ποῖός τις ἐστί, καὶ εἰς τίνα τρόπον κατενήνεκται. καὶ τὰ ἄλλα δὴ τῶν παθημάτων, ὥσπερ ὑπεθέμην, πειράσομαι κατὰ γένος φανερὰ καταστῆσαι.

ΠΕΡΙ ΕΙΡΩΝΕΙΑΣ.

Η ΜΕΝ οὖν εἰρωνεία δόξειεν ἂν εἶναι, ὡς τύπῳ λαβεῖν, προσποίησις ἐπὶ χεῖρον πράξεων καὶ λόγων. ὁ δὲ εἴρων, τοιοῦτός τις ἐστὶν οἷος προσελθὼν τοῖς ἐχθροῖς ἐθέλειν λαλεῖν, οὐ μισεῖν. καὶ ἐπαινεῖν παρόντας, οἷς ἐπέθετο λάθρα, καὶ τούτοις συλλυπεῖσθαι ἡττωμένοις. καὶ συγγνώμην δὲ ἔχειν τοῖς κακῶς αὐτὸν λέγουσιν, καὶ ἐπὶ τοῖς καθ' ἑαυτοῦ λεγομένοις, καὶ πρὸς τοὺς ἀδικουμένους καὶ ἀγανακτοῦντας πράως διαλέγεσθαι. καὶ τοῖς ἐντυγχάνειν κατὰ σπουδὴν βουλομένοις, προστάξαι ἐπανελθεῖν· καὶ μηδὲν ὧν πράττει, ὁμολογῆσαι, ἀλλὰ φῆσαι βουλεύεσθαι· καὶ προσποιήσασθαι ἄρτι παραγεγονέναι, καὶ ὀψὲ γενέσθαι αὐτὸν καὶ μαλακισθῆναι. καὶ πρὸς τοὺς δανειζομένους καὶ ἐρανίζοντας, ὡς οὐ πωλεῖ· καὶ μὴ πωλῶν, φῆσαι πωλεῖν. καὶ ἀκούσας τι, δόξει μὴ προσποιεῖσθαι. καὶ ἰδών, φῆσαι μὴ ἑωρακέναι· καὶ ὁμολογήσας, μὴ μεμνῆσθαι· καὶ τὰ μὲν σκέψασθαι φάσκει, τὰ δὲ οὐκ εἰδέναι, τὰ δὲ θαυμάζειν, τὰ δ' ἤδη ποτὲ καὶ αὐτὸς οὕτω διαλογίσασθαι. καὶ τὸ ὅλον, δεινὸς τῷ τοιούτῳ τρόπῳ τοῦ λόγου χρῆσθαι, οὐ πιστεύω, οὐχ ὑπολαμβάνω, ἐκπλήττομαι. καὶ λέγει ἑαυτὸν ἕτερον γεγονέναι. καὶ μὴν οὐ ταῦτα πρὸς ἐμὲ διεξῄει, παράδοξόν μοι τὸ πρᾶγμα, ἄλλῳ τινὶ λέγε. ὅπως δὲ σοὶ ἀπιστήσω, ἢ ἐκείνου καταγνῶ, ἀπορῶμαι. ἀλλ' ὅρα μὴ σὺ θᾶττον πιστεύῃς. τοιαύτας φωνὰς καὶ πλοκὰς καὶ παλιλλογίας, οὐ χεῖρον ἐστιν εὑρεῖν οὐδέν. τὰ δὴ τῶν ἠθῶν μὴ ἁπλᾶ, ἀλλ' ἐπίβουλα φυλάττεσθαι μᾶλλον δεῖ ἢ τοὺς ἔχεις.

ΠΕΡΙ ΚΟΛΑΚΕΙΑΣ.

ΤΗΝ δὲ κολακείαν ὑπολάβοι ἄν τις ὁμιλίαν αἰσχρὰν εἶναι, συμφέρουσαν δὲ τῷ κολακεύοντι. τὸν δὲ κόλακα τοιοῦτόν τινα, ὥστε πορευόμενον ἅμα εἰπεῖν, ἐνθυμῇ ὡς ἀποβλέπουσιν εἰς σὲ οἱ ἄνθρωποι; τοῦτο οὐδενὶ γίγνεται τῶν ἐν τῇ πόλει πλὴν ἢ σοί. ηὐδοκίμεις χθὲς ἐν τῇ στοᾷ. πλειόνων γὰρ ἢ τριάκοντα ἀνθρώπων καθημένων, καὶ ἐμπεσόντος λόγου τίς εἴη βέλτιστος, ἀπ' αὐτοῦ ἀρξαμένους πάντας, ἐπὶ τὸ ὄνομα αὐτοῦ κατενεχθῆναι, καὶ ἅμα τοιαῦτα λέγει· ἀπὸ τοῦ ἱματίου ἀφελεῖν κροκύδα. καὶ ἐάν τι πρὸς τὸ τρίχωμα τῆς κεφαλῆς ἄχυρον προσενεχθῇ, ὑπὸ πνεύματος καρφολογῆσαι. καὶ ἐπιγελάσας δὲ εἰπεῖν, ὁρᾷς; ὅτι δυοῖν σοι ἡμερῶν οὐκ ἐντετύχηκα, πολιῶν ἔσχηκας τὸν πώγωνα μεστόν· καίπερ, εἴ τις καὶ ἄλλος, ἔχεις πρὸς τὰ ἔτη μέλαιναν τὴν τρίχα. καὶ λέγοντος δὲ αὐτοῦ τι, τοὺς ἄλλους σιωπᾶν κελεῦσαι, καὶ ἐπαινέσαι δὲ ἀκούοντος. καὶ ἐπισημήνασθαι δὲ, εἰ παύσεται, ὀρθῶς. καὶ σκώψαντι πικρῶς ἐπιγελάσαι, τό τε ἱμάτιον ὦσαι εἰς τὸ στόμα, ὡς δὴ οὐ δυνάμενος κατασχεῖν τὸν γέλωτα· καὶ τοὺς ἀπαντῶντας ἐπιστῆναι κελεῦσαι ἕως ἂν αὐτὸς παρέλθῃ. καὶ τοῖς παιδίοις μῆλα καὶ ἀπίους πριάμενος, εἰσενέγκας δοῦναι, ὁρῶντος αὐτοῦ· καὶ φιλήσας δὲ εἰπεῖν, χρηστοῦ πατρὸς νεόττια. καὶ συνωνούμενος δὲ κρηπῖδας, τὸν πόδα φῆσαι εἶναι εὐρυθμότερον τοῦ ὑποδήματος. καὶ πορευομένου πρός τινα τῶν φίλων, προδραμὼν εἰπεῖν, ὅτι πρὸς σὲ ἔρχεται, καὶ ἀναστρέψας, ὅτι προσήγγελκα. ἀμέλει δὲ καὶ τὰ ἐκ γυναικείας ἀγορᾶς διακονῆσαι δυνατὸς ἀπνευστί. καὶ τῶν ἑστιωμένων πρῶτος ἐπαινέσαι τὸν οἶνον, καὶ παρακειμένων εἰπεῖν, ὡς μαλακῶς ἐσθίεις. καὶ ἄρας τι τῶν ἀπὸ τῆς τραπέζης, φῆσαι, τουτὶ ἄρα ὡς χρηστόν ἐστι. καὶ ἐρωτῆσαι μὴ ῥιγοῖ, καὶ εἰ ἐπιβαλέσθαι βούλεται, καὶ ἔτι περιστεῖλαι

αὐτόν. καὶ μὴν ταῦτα λέγειν, πρὸς τοὺς παραπίπτων, ψιθυρίζειν, καὶ εἰς ἐκεῖνον ἀποβλέπων, τοῖς ἄλλοις λαλεῖν. καὶ τοῦ παιδὸς ἐν τῷ θεάτρῳ ἀφελόμενος τὰ προσκεφάλαια, αὐτὸς ὑποστρῶσαι. καὶ τὴν οἰκίαν φῆσαι εὖ ἠρχιτεκτονῆσθαι, καὶ τὸν ἀγρὸν εὖ πεφυτεῦσθαι, καὶ τὴν εἰκόνα ὁμοίαν εἶναι. καὶ τὸ κεφάλαιον, τὸν κόλακα ἐστὶ θεάσασθαι πάντα καὶ λέγοντα καὶ πράττοντα οἷς χαριεῖσθαι ὑπολαμβάνει.

ΠΕΡΙ ΑΔΟΛΕΣΧΙΑΣ.

Η ΔΕ ἀδολεσχία, ἐστὶ μὲν διήγησις λόγων μακρῶν καὶ ἀπροβουλεύτων· ὁ δὲ ἀδολέσχης, τοιοῦτός ἐστιν οἷος ὃν μὴ γινώσκει, τούτῳ παρακαθεζόμενος πλησίον, πρῶτον μὲν τῆς ἑαυτοῦ γυναικὸς εἰπεῖν ἐγκώμιον· εἶτα ὃ τῆς νυκτὸς εἶδεν ἐνύπνιον, τοῦτο διηγήσασθαι· εἶθ' ὧν εἶχεν ἐπὶ τῷ δείπνῳ τὰ καθέκαστα διεξελθεῖν· εἶτα δὴ προχωροῦντος τοῦ πράγματος, λέγειν ὡς πολὺ πονηρότεροί εἰσιν οἱ νῦν ἄνθρωποι τῶν ἀρχαίων, καὶ ὡς ἄξιοι γεγόνασιν οἱ πυροὶ ἐν τῇ ἀγορᾷ· καὶ ὡς πολλοὶ ἐπιδημοῦσι ξένοι. καὶ τὴν θάλατταν ἐκ διονυσίων πλώϊμον εἶναι. καὶ, εἰ ποιήσειεν ὁ Ζεὺς ὕδωρ, τὰ ἐν τῇ γῇ βελτίω ἔσεσθαι, καὶ ὁ ἀγρὸς εἰς νέωτα γεωργήσει· καὶ, ὡς χαλεπόν ἐστι τὸ ζῆν. καὶ, ὡς Δάμιππος μυστηρείοις μεγίστην δᾷδα ἔστησε. καὶ πόσοι εἰσὶ κίονες τοῦ ᾠδείου. καὶ, χθὲς ἤμεσα. καὶ, τίς ἐστιν ἡμέρα σήμερον. κἂν ὑπομένῃ τις αὐτὸν, μὴ ἀφίστασθαι. καὶ ὡς Βοηδρομιῶνος μὲν τὰ μυστήρια, Πυανεψιῶνος δὲ ἀπατούρια, Ποσειδεῶνος δὲ κατ' ἀγροὺς Διονύσια. παρασείσαντα δὲ χρὴ τοὺς τοιούτους τῶν ἀνθρώπων καὶ διαρράμενον ἀπαλλάττεσθαι, ὅστις ἀπύρετος βούλεται εἶναι. ἔργον γὰρ συναρκεῖσθαι τοῖς μήτε σχολὴν, μήτε σπουδὴν διαγινώσκουσιν.

ΠΕΡΙ ΑΓΡΟΙΚΙΑΣ.

ΗΔΕ ἀγροικία δόξειεν ἂν εἶναι ἀμαθία ἀσχήμων· ὁ δὲ ἄγροικος, τοιοῦτός τις οἷος κυκεῶνα πιὼν, εἰς ἐκκλησίαν πορεύεσθαι. καὶ τὸ μύρον φάσκειν οὐδὲν τοῦ θύμου ἥδιον ὄζειν. καὶ μείζω τοῦ ποδὸς τὰ ὑποδήματα φορεῖν. καὶ μεγάλῃ τῇ φωνῇ λαλεῖν. καὶ τοῖς μὲν φίλοις καὶ οἰκείοις ἀπιστεῖν, πρὸς δὲ τοὺς αὐτοῦ οἰκέτας ἀνακοινοῦσθαι περὶ τῶν μεγίστων, καὶ τοῖς παρ' αὐτῷ ἐργαζομένοις μισθωτοῖς ἐν ἀγρῷ, πάντα τὰ ἀπὸ τῆς ἐκκλησίας διηγεῖσθαι. καὶ ἀναβεβλημένος ἄνω τοῦ γόνατος, καθιζάνειν, ὥστε τὰ γυμνὰ αὐτοῦ φαίνεσθαι. καὶ ἐπ' ἄλλῳ μὲν μήτε θαυμάζειν, μήτε ἐκπλήττεσθαι ἐν ταῖς ὁδοῖς· ὅταν δὲ ἴδῃ βοῦν, ἢ ὄνον, ἢ τράγον, ἑστηκὼς θεωρεῖν. καὶ προαιρῶν δέ τι ἐκ τοῦ ταμείου, δεινὸς φαγεῖν, καὶ ζωρότερον πιεῖν· καὶ τὴν σιτοποιὸν πειρᾶν λαθεῖν. κἆτ' ἀλέσας μετ' αὐτῆς τοῖς ἔνδον πᾶσι καὶ αὐτῷ τὰ ἐπιτήδεια. καὶ ἀριστῶν δὲ ἅμα τοῖς ὑποζυγίοις ἐμβαλεῖν τὸν χόρτον. καὶ κόψαντος τὴν θύραν ἐπακοῦσαι αὐτός. καὶ τὸν κύνα προσκαλεσάμενος, καὶ ἐπιλαβόμενος τοῦ ῥύγχους, εἰπεῖν, οὗτος φυλάσσει τὸ χωρίον, καὶ τὴν οἰκίαν, καὶ τοὺς ἔνδον. καὶ τὸ ἀργύρεον δὲ παρά του λαβὼν ἀποδοκιμάζειν, λίαν μὲν λυπρὸν εἶναι, καὶ ἕτερον ἅμα ἀλλάττεσθαι. καὶ ὃ ἄροτρον ἔχρησεν, ἢ κόφινον, ἢ δρέπανον, ἢ θύλακον, ταῦτα τῆς νυκτὸς κατὰ ἀγρυπνίαν ἀναμιμνησκόμενος, καὶ εἰς ἄστυ καταβαίνων, ἐρωτῆσαι τὸν ἀπαντῶντα πόσου ἦσαν αἱ διφθέραι καὶ τὸ τάριχος, καὶ εἰ σήμερον ὁ ἀγὼν νουμηνίαν ἄγει. καὶ εἰπεῖν εὐθὺς ὅτι βούλεται καταβὰς ἀποκείρασθαι. καὶ ἐν βαλανείῳ δὲ ᾆσαι, καὶ εἰς τὰ ὑποδήματα δὲ ἥλους ἐγκροῦσαι. καὶ τῆς αὐτῆς ὁδοῦ παριὼν κομίσασθαι παρ' ἀρχίου τοὺς ταρίχους.

ΠΕΡΙ ΑΡΕΣΚΕΙΑΣ.

Η ΔΕ ἀρέσκεια, ἐστὶ μὲν, ὡς ὅρῳ περιλαβεῖν, ἔντευξις οὐκ ἐπὶ τῷ βελτίστῳ ἡδονῆς παρασκευαστική· ὁ δὲ ἄρεσκος, ἀμέλει τοιοῦτός τις οἷος πόρρωθεν προσαγορεύσας, καὶ ἄνδρα κράτιστον εἰπὼν, καὶ θαυμάσας ἱκανῶς, ἀμφοτέραις ταῖς χερσὶ μὴ ἀφιέναι, καὶ μικρὸν προπέμψας, καὶ ἐρωτήσας πότε αὐτὸν ὄψεται, ἐπ' ἐπαινῶν ἀπαλλάττεσθαι. καὶ παρακληθεὶς δὲ πρὸς δίαιταν, μὴ μόνον ᾧ πάρεστι βούλεσθαι ἀρέσκειν, ἀλλὰ καὶ τῷ ἀντιδίκῳ, ἵνα κοινὸς εἶναι δοκῇ· καὶ τοὺς ξένους δὲ εἰπεῖν ὡς δικαιότερα λέγουσι τῶν πολιτῶν. καὶ κεκλημένος δὲ ἐπὶ δεῖπνον, κελεῦσαι καλέσαι τὰ παιδία τὸν ἑστιῶντα, καὶ εἰσιόντα, φῆσαι σύκου ὁμοιότερα εἶναι τῷ πατρί· καὶ προσαγαγόμενος, φιλῆσαι, καὶ παρ' αὐτὸν καθίσαι. καὶ τοῖς μὲν συμπαίζειν αὐτὸς, λέγων, ἀσκὸς, πέλεκυς· τὰ δὲ ἐπὶ τῆς γαστρὸς ἐᾶν καθεύδειν, ἅμα θλιβόμενος. καὶ πλειστάκις δὲ ἀποκείρασθαι, καὶ τοὺς ὀδόντας λευκοὺς ἔχειν. καὶ τὰ ἱμάτια δὲ χρηστὰ μεταβάλλεσθαι, καὶ χρίσματι ἀλείφεσθαι, καὶ τῆς μὲν ἀγορᾶς πρὸς τὰς τραπέζας προσφοιτᾶν· τῶν δὲ γυμνασίων ἐν τούτοις διατρίβειν, οὗ ἂν οἱ ἔφηβοι γυμνάζωνται. τοῦ δὲ θεάτρου καθῆσθαι, ὅταν ᾖ θέα, πλησίον τῶν στρατηγῶν. καὶ ἀγοράζειν αὐτῷ μὲν μηδὲν, ξένοις δὲ εἰς Βυζάντιον ἐπιστάλματα· καὶ λακωνικὰς κύνας, εἰς κύζικον· καὶ μέλι ὑμήττιον, εἰς ῥόδον. καὶ ταῦτα ποιῶν, τοῖς ἐν τῇ πόλει διηγεῖσθαι. ἀμέλει δὲ καὶ πίθηκον θρέψαι δεινὸς, καὶ τίτυρον κτήσασθαι, καὶ σικελικὰς περιστερὰς, καὶ δορκαδείους ἀστραγάλους, καὶ θυελακὰς τῶν στρογγύλων ληκύθους, καὶ βακτηρίας τῶν σκολιῶν, ἐκ λακεδαίμονος, καὶ αὐλαίαν ἔχουσαν πέρσας ἐνυφασμένους, καὶ αὐλίδιον παλαιστρικὸν κόνιν ἔχον, καὶ σφαιριστήριον· καὶ τοῦτο περιιὼν ἀεὶ τοῖς φιλοσόφοις, τοῖς σοφισταῖς, τοῖς ὁπλομάχοις, τοῖς ἁρμονικοῖς ἐπιδείκνυσθαι. καὶ αὐτὸς ἐν τῇ ἐπι-

δείξεσιν ὕστερον εἰπεῖν, ὅτι τῶν ἡττωμένων, πρὸς ἕτερον, ὅτι ἑαυ-
του ἐστὶν ἡ παλαίστρα.

ΠΕΡΙ ΑΠΟΝΟΙΑΣ.

Ἡ ΔΕ ἀπόνοια, ἐστὶν ὑπομονὴ αἰσχρῶν ἔργων καὶ
λόγων. ὁ δὲ ἀπονενοημένος, τοιοῦτός τις οἷος ὀμό-
σαι ταχὺ, κακῶς ἀκοῦσαι, καὶ λοιδορηθῆναι
δυνάμενος τῷ ἤθει ἀγοραῖός τις, καὶ ἀνασεσυρμένος, καὶ παν-
τοποιός. ἀμέλει δυνατὸς καὶ ὀρχεῖσθαι νήφων τὸν κόρδακα,
καὶ προσωπεῖον ἔχων ἐν κωμικῷ χορῷ, καὶ ἐν θαύμασι δὲ τοὺς
χαλκοῦς ἐκλέγειν καθ' ἕκαστον παριών. καὶ μάχεσθαι τοῖς τὸ
σύμβολον φέρουσι, καὶ προῖκα θεωρεῖν. δεινὸς δὲ καὶ παν-
δοχεῦσαι, καὶ πορνοβοσκῆσαι, καὶ τελωνῆσαι, καὶ μηδεμίαν
αἰσχρὰν ἐργασίαν ἀποδοκιμάσαι, ἀλλὰ κηρύττειν, μαγειρεύειν,
κυβεύειν, τὴν μητέρα μὴ τρέφειν, ἀπάγεσθαι κλοπῆς, τὸ δε-
σμωτήριον πλείω χρόνον οἰκεῖν ἢ τὴν αὑτοῦ οἰκίαν. καὶ τοῦτο δ'
ἂν εἶναι δόξειε τῶν περιϊσταμένων τοὺς ὄχλους, καὶ προσκα-
λούντων, μεγάλῃ τῇ φωνῇ καὶ παρεῤῥωγυίᾳ διαλεγομένων
πρὸς αὐτοὺς καὶ λοιδορουμένων· καὶ μεταξὺ οἱ μὲν προσία-
σιν, οἱ δὲ ἀπίασι πρὶν ἀκοῦσαι αὐτοῦ· ἀλλὰ τοῖς μὲν ἀρχὴν,
τοῖς δὲ συλλαβὴν, τοῖς δὲ μέρος τοῦ πράγματος λέγει· οὐκ
ἄλλως θεωρεῖσθαι ἀξιῶν τὴν ἀπόνοιαν αὐτοῦ, ἢ ὅταν ᾖ πα-
νήγυρις. ἱκανὸς δὲ καὶ δίκας τὰς μὲν φεύγειν, τὰς δὲ διώ-
κειν, τὰς δὲ ἐξόμνυσθαι, ταῖς δὲ παρεῖναι ἔχων ἐχῖνον ἐν τῷ
προκολπίῳ, καὶ ὁρμαθοὺς γραμματιδίων ἐν ταῖς χερσίν. οὐκ
ἀποδοκιμάζων δὲ οὐδ' ἅμα πολλῶν ἀγοραίων στρατηγεῖν, καὶ
εὐθὺς τούτοις δανείζειν, καὶ τῆς δραχμῆς τόκον τρία ἡμιω-
βόλια τῆς ἡμέρας πράττεσθαι, καὶ ἐφοδεύειν τὰ μαγει-
ρεῖα, τὰ ἰχθυοπωλεῖα, τὰ ταριχοπωλεῖα, καὶ τοὺς τόκους ἀπὸ
τοῦ ἐμπολήματος εἰς τὴν γνάθον ἐκλέγειν. ἐργώδεις δὲ εἰσὶ
τὸ στόμα εὔλυτον ἔχοντες πρὸς λοιδορίαν, καὶ φθεγγόμενοι

μεγάλῃ τῇ φωνῇ, ὡς συνηχεῖν αὐτοῖς τὴν ἀγορὰν καὶ τὰ ἐργαστήρια.

ΠΕΡΙ ΛΑΛΙΑΣ.

Η ΔΕ λαλιά, εἴ τις αὐτὴν ὁρίζεσθαι βούλοιτο, εἶναι ἂν δόξειεν ἀκρασία τοῦ λόγου. ὁ δὲ λάλος, τοιοῦτός τις οἷος τῷ ἐντυγχάνοντι εἰπεῖν ἄν, ὅ,τι οὖν πρὸς αὐτὸν φθέγξηται, ὅτι οὐδὲν λέγει· καὶ ὅτι αὐτὸς πάντα οἶδε, καὶ ἂν ἀκούῃ αὐτοῦ, μαθήσεται. καὶ μεταξὺ δὲ ἀποκρινομένου, ὑποβάλλει, εἴπας σύ, μὴ ἐπιλάθῃ ὃ μέλλεις λέγειν. καὶ εὖ γε ὅτι με ὑπέμνησας. καὶ τὸ λαλεῖν ὡς χρήσιμόν που. καὶ ὃ παρέλιπον· καὶ ταχύ γε συνῆκας τὸ πρᾶγμα. καὶ πάλαι σε παρετήρουν εἰ ἐπὶ τὸ αὐτὸ ἐμοὶ κατενεχθήσῃ. καὶ ἑτέρας ἀφορμὰς τοιαύτας πορίσασθαι, ὥστε μηδὲ ἀναπνεῦσαι τὸν ἐντυγχάνοντα. καὶ ὅταν γε τοὺς καθ' ἕνα ἀποκναίσῃ, δεινὸς καὶ ἐπὶ τοὺς ἀθρόους καὶ συνεστηκότας πορευθῆναι, καὶ φυγεῖν ποιῆσαι μεταξὺ χρηματίζοντας. καὶ εἰς τὰ διδασκαλεῖα δὲ καὶ εἰς τὰς παλαίστρας εἰσιών, κωλύειν τοὺς παῖδας προμανθάνειν τοσαῦτα, καὶ προσλαλεῖν τοῖς παιδοτρίβαις καὶ διδασκάλοις. καὶ τοὺς ἀπιέναι φάσκοντας δεινὸς προπέμψαι, καὶ ἀποκαταστῆσαι εἰς τὴν οἰκίαν. καὶ πυθόμενος τὰς ἐκκλησίας ἀπαγγέλλειν. προσδιηγήσασθαι δὲ καὶ τὴν ἐπ' Ἀρειοφῶντος ποτὲ γενομένην τοῦ ῥήτορος μάχην, καὶ τὴν Λακεδαιμονίων ἐπὶ Λυσάνδρου, καὶ οὕς ποτε λόγους αὐτὸς εἶπεν εὐδοκιμήσας ἐν τῷ μέσῳ. καὶ κατὰ τῶν πληθῶν γε ἅμα διηγούμενος, κατηγορίαν παρεμβαλεῖν, ὥστε τοὺς ἀκούοντας ἤτοι ἐπιλαθέσθαι, ἢ νυστάξαι, ἢ μεταξὺ καταλιπόντας ἀπαλλάττεσθαι. καὶ συνδικάζων δέ, κωλῦσαι κρῖναι, καὶ συνθεωρῶν, θεάσασθαι. καὶ συνδειπνῶν, φαγεῖν. λέγων ὅτι χαλεπὸν τῷ λάλῳ ἐστὶ σιωπᾶν, καὶ ὡς ἐν ὑγρῷ ἐστιν ἡ γλῶττα· καὶ ὡς οὐκ ἂν σιωπήσειεν, οὐδ' εἰ τῶν χελιδόνων δόξειεν ἂν εἶναι λαλίστερος. καὶ σκωπτόμενος ὑπο-

μεῖναι καὶ ὑπὸ τῶν αὐτοῦ παιδίων, ὅταν αὐτὸν ἤδη καθεύδειν βουλόμενον κελεύῃ λέγοντα ταῦτα, λαλεῖν τι ἡμῖν, ὅπως ἂν ἡμᾶς ὕπνος λάβῃ.

ΠΕΡΙ ΛΟΓΟΠΟΙΙΑΣ.

Η ΔΕ λογοποιΐα, ἐστὶ σύνθεσις ψευδῶν λόγων καὶ πράξεων, ὧν βούλεται ὁ λογοποιῶν. ὁ δὲ λογοποιός, τοιοῦτός τις οἷος ὑπαντήσας τῷ φίλῳ, εὐθὺς καταβαλὼν τὸ ἦθος καὶ μειδιάσας, ἐρωτῆσαι, πόθεν σύ καὶ τί λέγεις, καὶ, ἔχεις περὶ τοῦδε εἰπεῖν καινόν; καὶ ἐπιβαλὼν ἐρωτᾶν, μὴ λέγεταί τι καινότερον; καὶ μὴν ἀγαθά γέ ἐστι τὰ λεγόμενα. καὶ οὐκ ἐάσας ἀποκρίνασθαι, εἰπεῖν, τί λέγεις; οὐδὲν ἀκήκοας; δοκῶ μοι σὲ εὐωχήσειν καινῶν λόγων. καὶ ἔστιν αὐτῷ ἢ στρατιώτης, ἢ παῖς Ἀστείου τοῦ αὐλητοῦ, ἢ Λύκων ὁ ἐργολάβος παραγεγονὼς ἐξ αὐτῆς τῆς μάχης, οὗ φησὶν ἀκηκοέναι. αἱ μὲν οὖν ἀναφοραὶ τῶν λόγων τοιαῦταί εἰσιν αὐτῷ, ὧν οὐδεὶς ἂν ἔχοι ἐπιλαβέσθαι. διηγεῖται δὲ τούτους φάσκων λέγειν, ὡς Πολυσπέρχων καὶ ὁ βασιλεὺς μάχῃ νενίκηκε, καὶ Κάσανδρος ἐζώγρηται. κἂν εἴπῃ τις αὐτῷ, σὺ δὲ ταῦτα πιστεύεις; φήσει, τὸ πρᾶγμα βοᾶσθαι γὰρ ἐν τῇ πόλει, καὶ τὸν λόγον ἐπιτείνειν, καὶ πάντα συμφωνεῖν. ταῦτα γὰρ λέγειν περὶ τῆς μάχης, καὶ πολὺν τὸν ζωμὸν γεγονέναι. εἶναι δὲ αὐτῷ καὶ σημεῖον τὰ πρόσωπα τῶν ἐν τοῖς πράγμασιν· ὁρᾶν γὰρ αὐτῶν πάντων μεταβεβληκότα. λέγει δ' ὡς καὶ παρακήκοε παρὰ τούτοις κρυπτόμενόν τινα ἐν οἰκίᾳ, ἤδη πέμπτην ἡμέραν ἥκοντα ἐκ μακεδονίας, ὃς πάντα ταῦτα οἶδε. καὶ πάντα διεξιών, πῶς οἴεσθε, πιθανῶς σχετλιάζει; λέγων, δυστυχὴς Κάσανδρος, ὢ ταλαίπωρος· ἐνθυμῇ τὸ τῆς τύχης· ἀλλ' οὖν ἰσχυρὸς γενόμενος. καὶ δεῖ δὲ αὐτόν σε μόνον εἰδέναι. πᾶσι δὲ τοῖς ἐν τῇ πόλει προσδεδράμηκε λέγων. τῶν τοιούτων ἀνθρώπων τεθαύμακα τί ποτε βούλονται λογοποιοῦντες. οὐ γὰρ μόνον

ψεύδονται, ἀλλὰ καὶ ἀλυσιτελῶς ἀπαλλάττουσι. πολλάκις γὰρ αὐτῶν οἱ μὲν ἐν τοῖς βαλανείοις περιστάσεις ποιούμενοι, τὰ ἱμάτια ἀποβεβλήκασιν. οἱ δ' ἐν τῇ στοᾷ πεζομαχίᾳ καὶ ναυμαχίᾳ νικῶντες, ἐρήμους δίκας ὠφλήκασιν, εἰσὶ δ' οἳ καὶ πλεῖστοι λόγῳ κατακράτος αἱροῦντες παρεδειπνήθησαν. πάνυ δὴ ταλαίπωρον αὐτῶν ἐστι τὸ ἐπιτήδευμα. ποίᾳ γὰρ οὐ στοᾷ, ποίῳ δὲ ἐργαστηρίῳ, ποίῳ δὲ μέρει τῆς ἀγορᾶς οὐ διημερεύουσιν, ἀπαυδᾶν ποιοῦντες τοὺς ἀκούοντας οὕτως, καὶ καταπονοῦντες ταῖς ψευδολογίαις;

ΠΕΡΙ ΑΝΑΙΣΧΥΝΤΙΑΣ.

Η ΔΕ ἀναισχυντία, ἐστὶ μὲν, ὡς ὅρῳ λαβεῖν, καταφρόνησις δόξης αἰσχροῦ ἕνεκα κέρδους· ὁ δὲ ἀναίσχυντος, τοιοῦτος οἷος πρῶτον μὲν ὃν ἀποστερεῖ, πρὸς τοῦτον ἀπελθὼν δανείζεσθαι· εἶτα θύσας τοῖς θεοῖς, αὐτὸς μὲν δειπνεῖν παρ' ἑτέρῳ, τὰ δὲ κρέα ἀποτιθέναι ἁλσὶ πάσας· καὶ προσκαλεσάμενος τὸν ἀκόλουθον δοῦναι ἀπὸ τῆς τραπέζης ἄρας κρέας καὶ ἄρτον, καὶ εἰπεῖν ἀκουόντων πάντων, εὐωχοῦ τίμιε· καὶ ὀψωνῶν δὲ ὑπομιμνήσκειν τὸν κρεωπώλην, εἴ τι χρήσιμον αὐτῷ γέγονε. καὶ ἑστηκὼς πρὸς τῷ σταθμῷ, μάλιστα μὲν κρέας, εἰ δὲ μὴ, ὀστοῦν εἰς τὸν ζυγὸν ἐμβάλλειν· καὶ ἐὰν μὲν λάβῃ, εὖ ἔχει· εἰ δὲ μὴ, ἁρπάσας ἀπὸ τῆς τραπέζης χολίκιον, ἅμα γελῶν ἀπαλλάττεσθαι. καὶ ξένοις δὲ αὐτοῦ κρέα ἀγοράσας, μὴ δοὺς τὸ μέρος, θεωρεῖν. ἄγειν δὲ καὶ τοὺς εἰς τὴν ὑστεραίαν, καὶ τὸν παιδαγωγόν. καὶ ὅσα ἐωνημένος ἄξιά τις φέρει, μεταδοῦναι κελεῦσαι καὶ αὐτῷ· καὶ ἐπὶ τὴν ἀλλοτρίαν οἰκίαν ἐλθὼν, δανείζεσθαι κριθὰς, ποτὲ δὲ ἄχυρον. καὶ ταῦτα χρήσαντας, ἀναγκάσαι ἀποφέρειν πρὸς αὐτόν. δεινὸς δὲ καὶ πρὸς τὰ χαλκεῖα τὰ ἐν τῷ βαλανείῳ προσελθὼν, καὶ βάψας ἀρύταιναν, βοῶντος τοῦ βαλανέως, αὐτὸς αὐτοῦ καταχέασθαι, καὶ εἰπεῖν, ὅτι λέλουται ἀπιὼν· κἀκεῖ, οὐδεμία σοι χάρις.

ΠΕΡΙ ΜΙΚΡΟΛΟΓΙΑΣ.

ΗΔΕ μικρολογία ἐστὶ φειδωλία τοῦ διαφόρου ὑπὲρ τὸν καιρόν. ὁ δὲ μικρολόγος, τοιοῦτός τις οἷος ἐν τῷ μηνὶ ἡμιωβόλιον ἀπαιτεῖν ἐπὶ τὴν οἰκίαν, καὶ συσσιτῶν ἀριθμεῖν πόσας κύλικας ἕκαστος πέπωκε. καὶ ἀπάρχεσθαι ἐλάχιστον τῇ Ἀρτέμιδι τῶν συνδειπνούντων. καὶ ὅσα μικροῦ τις πριάμενος λογίζεται, πάντα φάσκειν εἶναι ἄγαν. καὶ οἰκέτου χύτραν ἢ λοπάδα κατάξαντος, εἰσπρᾶξαι ἀπὸ τῶν ἐπιτηδείων. καὶ τῆς γυναικὸς ἀποβαλούσης τρίχαλκον, οἷος μεταφέρειν τὰ σκεύη καὶ τὰς κλίνας καὶ τὰς κιβωτούς, καὶ διφᾶν τὰ καλύμματα. καὶ ἐάν τι πωλῇ, τοσούτου ἀποδόσθαι ὥστε μὴ λυσιτελεῖν τῷ πριαμένῳ. καὶ οὐκ ἂν ἐάσαι οὔτε συκοτραγῆσαι ἐκ τοῦ αὑτοῦ κήπου, οὔτε διὰ τοῦ αὑτοῦ ἀγροῦ πορευθῆναι, οὔτε ἐλάαν ἢ φοίνικα τῶν χαμαὶ πεπτωκότων ἀνελέσθαι. καὶ τοὺς ὅρους δὲ ἐπισκοπεῖσθαι ὁσημέραι, εἰ διαμένουσιν οἱ αὐτοί. δεινὸς δὲ καὶ ὑπερημερίαν πρᾶξαι, καὶ τόκον τόκου· καὶ ἑστιῶν δημότας, μικρὰ τὰ κρέα κόψας παραθεῖναι, καὶ ὀψωνῶν, μηδὲν πριάμενος εἰσελθεῖν. καὶ ἀπαγορεῦσαι τῇ γυναικὶ μήτε ἅλας χρωννύειν, μήτε ἐλλύχνιον, μήτε κύμινον, μήτε ὀρίγανον, μήτε ὀλάς, μήτε στέμματα, μήτε θυηλήματα, ἀλλὰ λέγειν ὅτι τὰ μικρὰ ταῦτα, πολλά ἐστι τοῦ ἐνιαυτοῦ· καὶ τὸ ὅλον δέ, τῶν μικρολόγων καὶ τὰς ἀργυροθήκας ἐστὶν ἰδεῖν εὐρωπώσας καὶ κλεῖς ἰωμένας· καὶ αὐτοὺς δὲ φοροῦντας ἐλάττω τῶν μικρῶν τὰ ἱμάτια, καὶ ἐκ ληκυθίων μικρῶν πάνυ ἀλειφομένους, καὶ ἐν χρῷ κειρομένους, καὶ τὸ μέσον τῆς ἡμέρας ὑπολυομένους, καὶ πρὸς τοὺς γναφεῖς διατεινομένους, ὅπως τὸ ἱμάτιον αὐτοῖς ἕξει πολλὴν γῆν, ἵνα μὴ ῥυπαίνηται ταχύ.

ΠΕΡΙ ΒΔΕΛΥΡΙΑΣ.

ΟΥ χαλεπὸν δὲ ἐστι τὴν βδελυρίαν διορίσασθαι. ἔστι γὰρ παιδιὰ ἐπιφανὴς καὶ ἐπονείδιστος. ὁ δὲ βδελυρὸς, τοιοῦτος οἷος ὑπαντήσας γυναιξὶν ἐλευθέραις, ἀνασυράμενος δεῖξαι τὸ αἰδοῖον. καὶ ἐν θεάτρῳ κροτεῖν, ὅταν οἱ ἄλλοι παύωνται, καὶ συρίττειν οὓς ἡδέως θεωροῦσιν οἱ λοιποί. καὶ ὅταν σιωπήσῃ τὸ θέατρον, ἀνακύψας ἐρυγεῖν, ἵνα τοὺς καθημένους ποιήσῃ μεταστραφῆναι. καὶ πληθούσης τῆς ἀγορᾶς προσελθὼν πρὸς τὰ κάρυα, ἢ τὰ μῆλα, ἢ τὰ ἀκρόδρυα, ἑστηκὼς τραγηματίζεσθαι, ἅμα τῷ πωλοῦντι προσλαλῶν. καὶ καλέσαι δὲ τῶν παριόντων ὀνομαστί τινα, ᾧ μὴ συνήθης ἐστί. καὶ σπεύδοντα δέ που ὁρῶν, περιμεῖναι κελεῦσαι. καὶ ἡττωμένῳ δὲ μεγάλην δίκην, ἀπιόντι ἀπὸ τοῦ δικαστηρίου προσελθεῖν, καὶ συνησθῆναι, καὶ ὀψωνεῖν ἑαυτὸν, καὶ αὐλητρίδας μισθοῦσθαι. καὶ δεικνύειν δὲ τοῖς ἀπαντῶσι τὰ ὠψωνημένα, καὶ παρακαλεῖν ἐπὶ ταῦτα. καὶ διηγεῖσθαι προσστὰς πρὸς κουρεῖον, ἢ μυροπώλιον, ὅτι μεθύσκεσθαι μέλλει. καὶ οἰνοπωλῶν, κεκραμένον τὸν οἶνον τῷ φίλῳ ἀποδόσθαι. καὶ ἐπὶ θέαν τηνικαῦτα δεῖν πορεύεσθαι, ἄγων τοὺς υἱεῖς, ἡνίκα προῖκα ἀφιᾶσιν οἱ θεατρῶναι. καὶ ἀποδημῶν δημοσίᾳ, τὸ μὲν ἐκ τῆς πόλεως ἐφόδιον οἴκοι καταλιπεῖν, παρὰ δὲ τῶν συμπρεσβευτῶν δανείζεσθαι. καὶ τῷ ἀκολούθῳ ἐπιθεῖναι μεῖζον φορτίον ἢ δύναται φέρειν, καὶ ἐλάχιστα ἐπιτήδεια τῶν ἱκανῶν. καὶ ἀπὸ τῶν ξενίων τὸ μέρος τὸ αὐτοῦ ἀπαιτήσας ἀποδόσθαι· καὶ ἀλειφόμενος ἐν τῷ βαλανείῳ, καὶ εἰπὼν, σαπρόν γε τὸ ἔλαιον ἐπρίω, ὦ παιδάριον· τῷ ἀλλοτρίῳ ἀλείφεσθαι. καὶ τῶν εὑρισκομένων χαλκῶν ἐν ταῖς ὁδοῖς ὑπὸ τῶν οἰκετῶν δεινὸς ἀπαιτῆσαι τὸ μέρος, κοινὸν εἶναι φήσας τὸν ἑρμῆν. καὶ δὲ δὴ τοιαῦτα φειδωνίῳ μέτρῳ τὸν πύνδακα ἐκκεκρουμένῳ μετρεῖν αὐτὸς τοῖς ἔνδον, καὶ ἐπιτήδεια σφό-

δρα ἀποψῶν, ὑποπρίασθαι φίλου ἐπιλαβὼν ἀποδόσθαι. ἀμέλει δὲ καὶ χρέος ἀποδιδοὺς τριάκοντα μνῶν, ἔλαττον τέτταρσι δραχμαῖς ἀποδιδόναι. καὶ φράτορας ἑστιῶν, αἰτεῖν τοῖς αὐτοῦ παισὶν ἐκ τοῦ κοινοῦ ὄψον· τὰ δὲ καταλειπόμενα ἀπὸ τῆς τραπέζης ἡμίσεα τῶν ῥαφανίδων ἀπογράφεσθαι, ἵνα οἱ διακονοῦντες παῖδες μὴ λάβωσιν.

ΠΕΡΙ ΑΚΑΙΡΙΑΣ.

Ἡ μὲν οὖν ἀκαιρία, ἐστὶν ἐπίτευξις λυποῦσα τοὺς ἐντυγχάνοντας· ὁ δὲ ἄκαιρος, τοιοῦτός τις οἷος ἀσχολουμένῳ προσελθὼν ἀνακοινοῦσθαι, καὶ πρὸς τὴν αὑτοῦ ἐρωμένην κωμάζειν πυρέττουσαν. καὶ δίκην ὠφληκότα ἐγγύης προσελθὼν κελεῦσαι αὐτὸν ἀναδέξασθαι· καὶ μαρτυρήσων παρεῖναι, τοῦ πράγματος ἤδη κεκριμένου. καὶ κεκλημένος εἰς γάμους, τοῦ γυναικείου γένους κατηγορεῖν· καὶ ἐκ μακρᾶς ὁδοῦ ἥκοντας ἄρτι, παρακαλεῖν εἰς περίπατον. δεινὸς δὲ καὶ προσάγειν ὠνητὴν πλείω διδόντα ἤδη πεπρακότι. καὶ ἀκηκοότας καὶ μεμαθηκότας ἀνίστασθαι ἐξ ἀρχῆς διδάσκων. καὶ πρόθυμος δὲ ἐπιμεληθῆναι ἃ μὴ βούλεταί τις γενέσθαι. αἰσχύνεται δὲ ἀπαιτεῖσθαι καὶ θύοντας καὶ ἀναλίσκοντας, ἥκων τόκον ἀπαιτήσων. καὶ μαστιγουμένου οἰκέτου παρεστὼς, διηγεῖσθαι ὅτι καὶ αὐτοῦ ποτε παῖς οὕτω πληγὰς λαβὼν ἀπήγξατο. καὶ παρὼν διαίτῃ, συγκρούειν, ἀμφοτέρων βουλομένων διαλύεσθαι. καὶ ὀρχησάμενος ἅψασθαι ἑταίρου μηδέπω μεθύοντος.

ΠΕΡΙ ΠΕΡΙΕΡΓΙΑΣ.

ἈΜΕΛΕΙ περιεργία δόξει εἶναι προσποίησίς τις λόγων καὶ πράξεων, μετ' εὐνοίας. ὁ δὲ περίεργος, τοιοῦτός τις· ἐπαγγέλλεσθαι ἀναστὰς ἃ μὴ δυνήσεται. καὶ ὁμολογουμένου τοῦ πράγματος δικαίου εἶναι ἐν τινι στὰς ἐλεγχθῆναι. καὶ πλείω δὲ ἐπαναγκάσαι τὸν παῖδα κεράσαι

ἢ ὅσα δύνανται οἱ παρόντες ἐκπιεῖν. καὶ διεγείρειν τοὺς μαχομένους, καὶ ἧς οὐ γινώσκει ἀτραποῦ ἡγήσασθαι, εἶτα μὴ δύνασθαι εὑρεῖν οὗ πορεύεται. καὶ τὸν στρατηγὸν δὲ προσελθὼν ἐρωτῆσαι, πότε μέλλει παρατάττεσθαι, καὶ τί μετὰ τὴν αὔριον παραγγέλλει. καὶ προσελθὼν τῷ πατρὶ εἰπεῖν, ὅτι ἡ μήτηρ ἤδη καθεύδει ἐν τῷ δωματίῳ. καὶ ἀπαγορεύοντος τοῦ ἰατροῦ, ὅπως μὴ δώσει οἶνον τῷ μαλακιζομένῳ, φήσας βούλεσθαι διάπειραν λαμβάνειν, εὐτρεπίσαι τὸν κακῶς ἔχοντα. καὶ γυναικὸς δὲ τελευτησάσης, ἐπιγράψαι ἐπὶ τὸ μνῆμα, τοῦ τε ἀνδρὸς αὐτῆς καὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς καὶ αὐτῆς τῆς γυναικὸς τοὔνομα, καὶ ποταπή ἐστι· καὶ προσεπιγράψαι ὅτι οὗτοι πάντες χρηστοὶ ἦσαν. καὶ ὀμνύναι μέλλων, εἰπεῖν πρὸς τοὺς περιεστηκότας, ὅτι καὶ πρότερον πολλάκις ὀμώμοκα.

ΠΕΡΙ ΑΝΑΙΣΘΗΣΙΑΣ

ΕΣΤΙ δὲ καὶ ἡ ἀναισθησία, ὡς ὅρῳ εἰπεῖν, βραδυτὴς ψυχῆς ἐν λόγοις καὶ πράξεσιν. ὁ δὲ ἀναίσθητος, τοιοῦτός τις οἷος λογισάμενος ταῖς ψήφοις καὶ κεφάλαιον ποιήσας, ἐρωτᾶν τὸν παρακαθήμενον, τί γίνεται. καὶ δίκην φεύγων, καὶ ταύτην εἰσιέναι μέλλων, ἐπιλαθόμενος εἰς ἀγρὸν πορεύεσθαι. καὶ θεωρῶν ἐν τῷ θεάτρῳ μόνος καταλείπεσθαι καθεύδων. καὶ πολλὰ φαγὼν τῆς νυκτὸς, καὶ ἐπὶ θᾶκον ἀνιστάμενος, ὑπὸ κυνὸς τῆς τοῦ γείτονος δηχθῆναι. καὶ λαβὼν καὶ ἀποθεὶς αὐτὸς τοῦτο ζητεῖν, καὶ μὴ δύνασθαι εὑρεῖν. καὶ ἀπαγγέλλοντός τινος αὐτῷ ὅτι τετελεύτηκέ τις αὐτοῦ τῶν φίλων, ἵνα παραγένηται, σκυθρωπάσας καὶ δακρύσας, εἰπεῖν, ἀγαθῇ τύχῃ. δεινὸς δὲ καὶ, ἀπολαμβάνων ἀργύριον ὀφειλόμενον, μάρτυρας παραλαβεῖν, καὶ χειμῶνος ὄντος μάχεσθαι τῷ παιδὶ, ὅτι σικύους οὐκ ἠγόρασε. καὶ τὰ παιδία ἑαυτοῦ παλαίειν ἀναγκάζων, καὶ τροχάζειν, καὶ εἰς κόπους ἐμβάλλειν. καὶ ἐν ἀγρῷ αὐτοῖς φακῆν ἕψων, δὶς

ἅλας

ἅλας εἰς τὴν χύτραν ἐμβάλλων, ἄβρωτον ποιῆσαι. καὶ ὕοντος τοῦ Διός, εἰπεῖν, ἡδύ γε τῶν ἄστρων νομίζει, ὅτε δὴ καὶ οἱ ἄλλοι λέγουσι πίσσης. καὶ λέγοντός τινος, πόσους οἴει κατὰ τὰς ἱερὰς πύλας ἐξενηνέχθαι νεκρούς; πρὸς τοῦτον εἰπεῖν, ὅσοι ἐμοὶ καί σοὶ γένοιντο.

ΠΕΡΙ ΑΥΘΑΔΕΙΑΣ.

ΔΗ αὐθάδεια, ἐστὶν ἀπήνεια ὁμιλίας ἐν λόγοις.
Η ὁ δὲ αὐθάδης, τοιοῦτός τις οἷος ἐρωτηθείς, ὁ δεῖνα ποῦ ἐστιν, εἰπεῖν, πράγματά μοι μὴ πάρεχε. καὶ προσαγορευθείς, μὴ ἀντιπροσειπεῖν. καὶ πωλῶν τι, μὴ λέγειν τοῖς ὠνουμένοις, πόσου ἂν ἀποδοῖτο, ἀλλ' ἐρωτᾶν τί εὑρίσκει. καὶ τοῖς τιμῶσι, καὶ πέμπουσιν εἰς τὰς ἑορτάς, εἰπεῖν ὅτι οὐκ ἂν γένοιτο διδόμενα. καὶ οὐκ ἔχων συγγνώμην οὔτε τῷ ἀπώσαντι αὐτὸν ἀκουσίως, οὔτε τῷ ὤσαντι, οὔτε τῷ ἐμβάντι. καὶ φίλῳ δὲ ἔρανον κελεύσαντι εἰσενεγκεῖν, εἰπὼν ὅτι οὐκ ἂν δοίη, ὕστερον ἥκειν φέρων, καὶ λέγειν ὅτι ἀπόλλυσι καὶ τοῦτο τὸ ἀργύριον. καὶ προσπταίσας ἐν τῇ ὁδῷ, δεινὸν καταράσασθαι τῷ λίθῳ. καὶ ἂν ὑπομεῖναι, οὐκ ἂν προσμεῖναι πολὺν χρόνον οὐδένα. καὶ οὔτε ᾆσαι, οὔτε ῥῆσιν εἰπεῖν, οὔτε ὀρχήσασθαι ἂν ἐθελῆσαι. δεινὸς δὲ καὶ τοῖς θεοῖς μὴ ἐπεύχεσθαι.

ΠΕΡΙ ΔΕΙΣΙΔΑΙΜΟΝΙΑΣ.

ΜΕΛΕΙ ἡ δεισιδαιμονία δόξειεν εἶναι δειλία
Α πρὸς τὸ δαιμόνιον. ὁ δὲ δεισιδαίμων, τοιοῦτός τις οἷος ἀπονιψάμενος τὰς χεῖρας καὶ περιρῥανάμενος ἀπὸ ἱεροῦ δάφνης εἰς τὸ στόμα λαβών, οὕτω τὴν ἡμέραν περιπατεῖν, καὶ τὴν ὁδὸν ἐὰν παραδράμῃ γαλῆ, μὴ πρότερον πορευθῆναι, ἕως διεξέλθῃ τις, ἢ λίθους τρεῖς ὑπὲρ τῆς ὁδοῦ διαλάβῃ. καὶ ἐὰν ἴδῃ ὄφιν ἐν τῇ οἰκίᾳ, ἱερὸν ἐνταῦθα ἱδρύσασθαι. καὶ τῶν λιπαρῶν λίθων τῶν ἐν ταῖς τριόδοις, παριὼν ἐκ τῆς ληκύθου ἔλαιον καταχεῖν. καὶ ἐπὶ γόνατα πεσὼν καὶ προσκυνήσας, ἀπαλλάττεσθαι. καὶ ἐὰν μῦς θύλακον

ἀλφίτων διαφάγῃ, πρὸς τὸν ἐξηγητὴν ἐλθὼν, ἐρωτᾶν τί χρὴ ποιεῖν. καὶ ἐὰν ἀποκρίνηται αὐτῷ ἐκδοῦναι τῷ σκυτοδέψῃ, ἐπιρράψαι, μὴ προσέχων τούτοις, ἀλλ' ἀποτραπεὶς ἐκθύσασθαι. καὶ πυκνὰ δὲ τὴν οἰκίαν καθαίρειν. καὶ οὔτε ἐπιβῆναι μνήματι, οὔτε ἐπὶ νεκρὸν ἐλθεῖν, οὔτε ἐπὶ λεχώ. καὶ ὅταν ἐνύπνιον ἴδῃ, πορεύεσθαι πρὸς τοὺς ὀνειροκρίτας, πρὸς τοὺς ὀρνιθοσκόπους, ἐρωτήσων τίνι θεῷ ἢ θεᾷ προσεύχεσθαι δεῖ. καὶ τελεσθησόμενος, πρὸς τοὺς ὀρφεοτελεστὰς κατὰ μῆνα πορεύεσθαι μετὰ τῆς γυναικός· ἐὰν δὲ μὴ σχολάζῃ γυνή, μετὰ τῆς τίτθης καὶ τῶν παιδίων. καὶ ἐπὶ τοῖς τριόδοις ἀπελθὼν κατὰ κεφαλῆς λούσασθαι. καὶ ἱερείας καλέσας, σκύλλῃ ἢ σκύλακι κελεῦσαι αὐτὸν περικαθᾶραι. μαινόμενόν τε ἰδὼν ἢ ἐπίληπτον, φρίξας εἰς κόλπον πτύσαι.

ΠΕΡΙ ΜΕΜΨΙΜΟΙΡΙΑΣ.

ΕΣΤΙ δὲ ἡ μεμψιμοιρία, ἐπιτίμησις παρὰ τὸ προσῆκον διδομένη. ὁ δὲ μεμψίμοιρος, τοιόςδέ τις οἷος, ἀποστείλαντος μερίδα τοῦ φίλου, εἰπεῖν πρὸς τὸν φέροντα, ἐφθόνησαί μοι τοῦ ζωμοῦ καὶ τοῦ οἰναρίου, οὐκ ἐπὶ δεῖπνον καλέσας· καὶ ὑπὸ τῆς ἑταίρας καταφιλούμενος, εἰπεῖν, θαυμάζω εἰ σὺ καὶ ἀπὸ ψυχῆς με φιλεῖς. καὶ τῷ διὶ ἀγανακτεῖν οὐ διότι ὕει, ἀλλὰ διότι ὕστερον. καὶ εὑρών τι καὶ ἐν τῇ ὁδῷ βαλάντιον, εἰπεῖν, ἀλλ' οὐ θησαυρὸν εὕρηκα οὐδέποτε. καὶ πριάμενος ἀνδράποδον ἄξιον, καὶ πολλὰ δεηθεὶς τοῦ πωλοῦντος, θαυμάζω, εἰπεῖν, ὅτι ὑγιὲς οὕτω ἄξιον ἐώνημαι. καὶ πρὸς τὸν εὐαγγελιζόμενον ὅτι υἱός σοι γέγονεν, εἰπεῖν, ὅτι ἂν προσθῇς, καὶ τῆς οὐσίας τὸ ἥμισυ ἄπεστιν, ἀληθῆ ἐρεῖς. καὶ νίκην νικήσας, καὶ λαβὼν πάσας τὰς ψήφους, ἐγκαλεῖν τῷ γράψαντι τὸν λόγον, ὡς πολλὰ παραλελοιπότι τῶν δικαίων. εἰσενεχθέντος παρὰ τῶν φίλων καὶ φήσαντός τινος, ἱλαρὸς ἴσθι, καὶ πῶς, εἰπεῖν, ὅτι δεῖ τὸ ἀργύριον

ἀποδοῦναι ἑκάστῳ, καὶ χωρὶς τούτων, χάριν ὀφείλειν ὡς ἀπηργετημένον.

ΠΕΡΙ ΑΠΙΣΤΙΑΣ.

ΕΣΤΙΝ ἀμέλει ἀπιστία, ὑπόληψίς τις ἀδικίας κατὰ πάντων. ὁ δὲ ἄπιστος, τοιοῦτός τις οἷος, ἀποστείλας τὸν παῖδα ὀψωνήσοντα, ἕτερον παῖδα πέμπειν πευσόμενον πόσου ἐπρίατο· καὶ φέρων αὐτὸς τὸ ἀργύριον, καὶ κατὰ στάδιον ἀριθμεῖν πόσον ἐστί. καὶ τὴν γυναῖκα τὴν αὑτοῦ ἐρωτᾶν κατακειμένος, εἰ κέκλεικε τὴν κιβωτὸν, καὶ εἰ σεσήμανται τὸ κοιλιοῦχιον, καὶ εἰ ὁ μοχλὸς εἰς τὴν θύραν τὴν αὐλαίαν ἐμβέβληται. καὶ ἐὰν ἐκείνη φῇ, μηδὲν ἧττον αὐτὸς ἀναστὰς γυμνὸς ἐκ τῶν στρωμάτων καὶ ἀνυπόδητος, τὸν λύχνον ἅψας, ταῦτα πάντα περιδραμὼν ἐπισκέψασθαι, καὶ οὕτω μόλις ὕπνου τυγχάνειν. καὶ τοὺς ὀφείλοντας αὐτῷ ἀργύριον, μετὰ μαρτύρων ἀπαιτεῖν τοὺς τόκους, ὅπως μὴ δύναιντο ἐξάρνοι γενέσθαι. καὶ τὸ ἱμάτιον δὲ ἐκδοῦναι δεινὸς, οὐχ ὡς βέλτιστα ἐργάσεται, ἀλλ᾽ ὅταν ᾖ ἄξιος ἐγγυητὴς τοῦ κναφέως. καὶ ὅταν ἥκῃ τις αἰτησόμενος ἐκπώματα, μάλιστα μὲν μὴ δοῦναι. καὶ τὸν παῖδα δὲ ἀκολουθοῦντα κελεύειν αὐτοῦ ὄπισθεν μὴ βαδίζειν, ἀλλ᾽ ἔμπροσθεν, ἵνα φυλάττηται αὐτὸ μὴ ἐν τῇ ὁδῷ ἀποδράσῃ. καὶ τοῖς εἰληφόσι τι παρ᾽ αὐτοῦ καὶ λέγουσι, πόσου κατάθου. οὐ γὰρ σχολάζω πέμπειν.

ΓΕΡΙ ΔΥΣΧΕΡΕΙΑΣ.

ΕΣΤΙ δὲ ἡ δυσχέρεια, ἀθεραπευσία σώματος, λύπης παρασκευαστική. ὁ δὲ δυσχερὴς, τοιοῦτός τις οἷος λέπραν ἔχων καὶ ἀλφὸν καὶ τοὺς ὄνυχας μεγάλους, περιπατεῖν καὶ φῆσαι ταῦτα εἶναι αὐτῷ συγγενικὰ ἀρρωστήματα, καὶ τὸν πατέρα ἔχειν καὶ τὸν πάππον. ἀμέλει δὲ δεινὸς καὶ ἕλκη ἔχειν ἐν τοῖς ἀντικνημίοις, καὶ

προσπταίσματα ἐν τοῖς δακτύλοις, καὶ ταῦτα μὴ θεραπεῦσαι, ἀλλ' ἐᾶσαι θηριωθῆναι. καὶ τὰς μασχάλας θηριώδεις καὶ δασείας ἔχειν ἄχρι ἐπὶ πολὺ τῶν πλευρῶν. καὶ τοὺς ὀδόντας μέλανας καὶ ἐσθιομένους. ὥστε δυσέντευκτος εἶναι καὶ ἀηδὴς καὶ τὰ τοιαῦτα. ἐσθίων ἀπομύττεσθαι. θύειν ἀρξάμενος, προσλαλεῖν, καὶ ἀποῤῥίπτειν ἀπὸ τοῦ στόματος. ἅμα πίειν, προσερυγγάνειν. ἐλαίῳ σαπρῷ ἐν βαλανείῳ χρῆσθαι. ἱμάτιον κηλίδων μεστὸν ἀναβαλόμενος, εἰς ἀγορὰν ἐξελθεῖν. καὶ εἰς ὀρνιθοσκόπου τῆς μητρὸς ἐξελθούσης, βλασφημῆσαι. καὶ εὐχομένων καὶ σπενδόντων ἐμβαλεῖν τὸ ποτήριον, καὶ γελάσαι ὡς περιττόν τι πεποιηκώς. καὶ αὐλούμενος δὲ κροτῆσαι ταῖς χερσὶ μόνος τῶν ἄλλων. καὶ συντερετίζειν καὶ ἐπιτιμᾶν τῇ αὐλητρίδι μὴ ταχὺ παυσαμένῃ. καὶ ἀποπτύσαι δὲ βουλόμενος ὑπὲρ τῆς τραπέζης, προσπτύσαι τῷ οἰνοχόῳ.

ΠΕΡΙ ΑΗΔΙΑΣ.

ΕΣΤΙ δὲ ἀηδία, ὡς ὅρῳ περιλαβεῖν, ἔντευξις λύπης ποιητικὴ ἄνευ βλάβης. ὁ δὲ ἀηδὴς, τοιοῦτός τις οἷος ἐγείρειν ἄρτι καθεύδοντα εἰσελθὼν, ἵνα αὐτῷ λαλῇ. καὶ ἀνάγεσθαι δὴ μέλλοντας κωλύειν, καὶ προσελθὼν, δεῖσθαι ἐπισχεῖν, ἕως ἂν περιπατήσῃ. καὶ τὸ παιδίον τῆς τίτθης ἀφελόμενος μασώμενον, σιτίζειν αὐτὸς, καὶ ὑποκορίζεσθαι ποππύζων. καὶ ἐσθίων δ' ἅμα διηγεῖσθαι ὡς ἐλλέβορον πιὼν, ἄνω καὶ κάτω καθαρθείη. καὶ ζωμοῦ τοῦ παρακειμένου ἐν τοῖς ὑπὸ * αὐτῷ μελαντέρα ἡ χολή. καὶ ἐρωτῆσαι δὲ δεινὸς ἐναντίον τῶν οἰκείων, ὡς ποία ἡμέρα με ἔτικτες. καὶ ὅτι ψυχρὸν ὕδωρ ἐστὶ παρ' αἰλακκαῖον. καὶ ὡς κῆπος λάχανα πολλὰ ἔχων καὶ ἁπαλὰ, καὶ ὅτι ἡ οἰκία αὐτοῦ, πανδοχεῖόν ἐστι. καὶ ξενίζων δὲ δεῖξαι τὸν παράσιτον αὐτοῦ ποῖός τις. καὶ παρακαλῶν δὲ ἐπὶ τοῦ ποτηρίου ὅτι τέρψον τοὺς παρόντας.

ΠΕΡΙ ΜΙΚΡΟΦΙΛΟΤΙΜΙΑΣ.

Η ΔΕ μικροφιλοτιμία δόξειεν ἂν εἶναι ὄρεξις τιμῆς ἀνελεύθερος. ὁ δὲ μικροφιλότιμος, τοιοῦτός τις οἷος σπουδάσαι, ἐπὶ δεῖπνον κληθεὶς, παρ' αὐτὸν τὸν καλέσαντα κατακείμενος δειπνῆσαι. καὶ τὸν υἱὸν ἀποκεῖραι ἀπαγαγὼν εἰς δελφούς. καὶ ἐπιμεληθῆναι δὲ ὅπως αὐτῷ ὁ ἀκόλουθος αἰθίοψ ἔσται. καὶ ἀποδοὺς μνᾶν ἀργυρίου, καινὸν ποιῆσαι ἀποδοῦναι. καὶ βοῦν θύσας, τὸ προμετωπίδιον ἀπαντικρὺ τῆς εἰσόδου προσπατταλεῦσαι, στέμμασι μεγάλοις περιδήσας, ὅπως οἱ εἰσιόντες ἴδωσιν ὅτι βοῦν ἔθυσε· καὶ πομπεύσας δὲ μετὰ τῶν ἱππέων, τὰ μὲν ἄλλα πάντα ἀποδοῦναι τῷ παιδὶ ἀπενεγκεῖν οἴκαδε, ἀναβαλόμενος δὲ θοιμάτιον εἰς τὴν ἀγορὰν περιπατεῖν. καὶ κυναρίου δὲ τελευτήσαντος, αὐτῷ μνῆμα ποιῆσαι. καὶ στηλίδιον ποιήσας, ἐπιγράψαι, κλάδος μελιταῖος. καὶ ἀναθεὶς δακτύλιον χαλκοῦν ἐν τῷ ἀσκληπιῷ, τοῦτον ἐκτρίβειν στεφανοῦντα. ἀλείφεσθαι ὁσημέραι. ἀμέλει δὲ καὶ συνδιοικήσασθαι παρὰ τῶν πρυτάνεων ὅπως ἀπαγγείλῃ τῷ δήμῳ τὰ ἱερά. καὶ παρασκευασάμενος λαμπρὸν ἱμάτιον, καὶ ἐστεφανωμένος, παρελθὼν εἰπεῖν, ὦ ἄνδρες ἀθηναῖοι, ἐθύομεν οἱ πρυτάνεις τὰ ἱερὰ τῇ μητρὶ τῶν θεῶν ἄξια καὶ καλὰ, καὶ ὑμεῖς ἐδέχεσθε τὰ ἀγαθά. καὶ ταῦτα ἀπαγγείλας, ἀπιὼν διηγήσασθαι οἴκαδε τῇ ἑαυτοῦ γυναικὶ ὡς καθ' ὑπερβολὴν εὐημερεῖ.

ΠΕΡΙ ΑΝΕΛΕΥΘΕΡΙΑΣ.

Η ΔΕ ἀνελευθερία, ἐστὶ περιουσία τις ἀπὸ φιλοτιμίας δαπάνην ἔχουσα. ὁ δὲ ἀνελεύθερος, τοιοῦτός τις οἷος νικήσας τραγῳδοὺς, ταινίαν ἀναθεῖναι ξυλίνην τῷ διονύσῳ, ἐπιγράψας αὐτοῦ τὸ ὄνο-

μα. καὶ ἐπιδόσεων γινομένων, ἐκ τοῦ δήμου ἀνασὰς, σιωπᾶν. ἢ ἐκ τοῦ μέσου ἀπελθεῖν. καὶ ἐκδιδοὺς αὐτοῦ θυγατέρα, τοῦ μὲν ἱερείου, πλὴν τῶν ἱερέων, τὰ κρέα ἀποδίδοσθαι· τοὺς δὲ διακονοῦντας ἐν τοῖς γάμοις οἰκοσίτους μισθώσασθαι. καὶ τριηραρχῶν, τὰ τοῦ κυβερνήτου σρώματα ὑπὸ τοῦ καταςρώματος ὑποςορέννυσθαι, τὰ δὲ αὐτοῦ ἀποτιθέναι. καὶ ἐξ ἀγορᾶς δὲ ὀψωνήσας, τὰ κρέα αὐτὸς φέρειν καὶ τὰ λάχανα ἐν τῷ προκολπίῳ, καὶ ἔνδον μένειν ὅταν ἐκδῷ θοἰμάτιον ἐκπλῦναι. καὶ φίλου ἔρανον συλλέγοντος, προειδόμενος, ἀποκάμψας ἐκ τῆς ὁδοῦ, οἴκαδε πορεύεσθαι. καὶ μὴ πρίασθαι θεραπαίνας, ἀλλὰ μισθοῦσθαι εἰς τὰς ἐξόδους. καὶ ἀνασὰς, τὴν οἰκίαν καλλῦναι, καὶ τὰς κλίνας ἐκκορῆσαι. καὶ καθεζόμενος παραςρέψαι τὸν τρίβωνα ὃν αὐτὸς φορεῖ.

ΠΕΡΙ ΑΛΑΖΟΝΕΙΑΣ.

ΜΕΛΕΙ δ᾽ ἡ ἀλαζονεία δόξειεν εἶναι προσ-
A δοκία τις ἀγαθῶν οὐκ ὄντων. ὁ δ᾽ ἀλαζὼν, τοιοῦτός τις οἷος ἐν τῷ διαζεύγματι ἑςηκὼς διηγεῖσθαι ξένοις ὡς πολλὰ χρήματα αὐτοῖς ἐςὶν ἐν τῇ θαλάττῃ. καὶ περὶ τῆς ἐργασίας τῆς δανειστικῆς διεξιέναι, ἡλίκη, καὶ αὐτὸς ὅσα εἴληφε. καὶ συνοδοιπόρου ἀπολαύσας ἐν τῇ ὁδῷ, λέγειν ὡς μετὰ Εὐάνδρου ἐςρατεύσατο· καὶ ὅσα λιθοκόλλητα ποτήρια ἐκόμισε, καὶ περὶ τῶν τεχνιτῶν τῶν ἐν τῇ Ἀσίᾳ, ὅτι βελτίους εἰσὶ τῶν ἐν τῇ Εὐρώπῃ, ἀμφισβητῆσαι. καὶ γράμματα εἰπεῖν ὡς πάρεστι παρ᾽ Ἀντιπάτρου, τρίτον δὴ λέγοντα παραγίνεσθαι αὐτὸν εἰς Μακεδονίαν· καὶ διδομένης αὐτῷ ἐξαγωγῆς ξύλων ἀπλοῦς, εἰπεῖν ὅτι ἀπείρηται ὅπως μηδ᾽ ὑφ᾽ ἑνὸς συκοφαντηθῇ. καὶ ἐν τῇ ἀποδίᾳ ὡς πλείω ἢ πέντε τάλαντα γένοιτο αὐτῷ τὰ ἀναλώματα διδόντι τοῖς ἀπόροις τῶν πολιτῶν. καὶ ἀγνώστων δὲ παρακαθημένων, κελεῦσαι θεῖ-

ναι τὰς ψήφους, καὶ ποσοῦν αὐτὰς καθ' ἑξακοσίους, κατὰ μίαν. καὶ προστιθεὶς πιθανὰ ἑκάστοις τούτων ὀνόματα, καὶ ποιῆσαι δέκα τάλαντα. καὶ τοῦτο φήσας εἰσενηνοχέναι εἰς ἐράνους αὐτόν. καὶ τὰς τριηραρχίας εἰπεῖν ὅτι οὐ τίθησιν, οὐδὲ τὰς λειτουργίας ὅσας λελειτούργηκε. καὶ προσελθὼν δ' εἰς τοὺς ἵππους τοὺς ἀγαθοὺς πωλοῦσι, προσποιήσασθαι ὠνη πᾶν. καὶ ἐπὶ τὰς κλίνας ἐλθὼν, ἱματισμὸν ζητῆσαι εἰς δύο τάλαντα. καὶ τῷ παιδὶ μάχεσθαι οὐκ ἔχων χρυσὸν νεῶ τῷ ἀκολουθεῖν. καὶ ἐν μισθῷ τὴν οἰκίαν οἰκῶν, φῆσαι ταύτην εἶναι τὴν πατρῴαν, πρὸς τὸν μὴ εἰδότα, διότι μέλλει πωλεῖν αὐτὴν, διὰ τὸ ἐλάττω εἶναι πρὸς τὰς ξενοδοχίας.

ΑΡΙΣΤΟ-

ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΠΕΡΙ θαυμασίων ἀκουσμάτων.

Ν ΤΗ Παιονίᾳ φασὶν ἐν τῷ ὄρει τῷ Ησαίνῳ
B καλουμένῳ, ὃ τὴν Παιονικὴν καὶ τὴν Μεδικὴν ὁρίζει, εἶναί τι θηρίον τὸ καλούμενον βόλινθον, ὑπὸ δὲ τῶν Παιόνων μόνεπον· τοῦτο λέγεται τὴν μὲν ὅλην φύσιν παραπλήσιον εἶναι τῷ βοΐ, διαφέρειν δὲ τῷ μεγέθει καὶ τῇ εὐρωστίᾳ, προσέτι δὲ καὶ τῇ χαίτῃ· ἔχει γὰρ ἀπὸ τοῦ αὐχένος, ὥσπερ ὁ ἵππος, καταπίνουσαν βαθεῖαν σφόδρα, καὶ ἀπὸ τῆς κορυφῆς ἕως τῶν ὀφθαλμῶν· τὰ δὲ κέρατα οὐχ ὥσπερ οἱ βόες, ἀλλὰ κατεστραμμένα, καὶ τὸ ὀξὺ κάτω παρὰ τὰ ὦτα. χωρεῖν δὲ αὐτὰ ἡμιχόου πλεῖον ἑκάτερον αὐτῶν, καὶ μέλαν σφόδρα εἶναι, διαστίλβειν δὲ ὡς εἶναι λελεπισμένα. ὅταν δὲ ἐκδαρῇ τὸ δέρμα, κατέχειν τόπον ὀκτακλίνου. ἡνίκα δὲ πληγῇ, φεύγει· κἂν ἐξαδυνατῇ, μένει. ἔστι δὲ ἡδύκρεων. ἀμύνεται δὲ λακτίζον καὶ προσαφοδεῦον ὡς ἐπὶ τέτταρας ὀργυάς. ῥᾳδίως δὲ χρῆται τούτῳ πολλάκις τῷ εἴδει, καὶ ἐπικαίει δέ, ὥστε ἀποψήχεσθαι τὰς τρίχας τῶν κυνῶν. τεταραγμένον μὲν οὖν τοῦτο ποιεῖν φασι τὸν ἄφοδον, ἀταράχου δὲ μὴ ἐπικαίειν. ὅταν δὲ τίκτωσι, πλείους γινόμενοι, καὶ συναχθέντες ἅμα πάντες οἱ μέγιστοι τίκτουσι, καὶ κύκλῳ προσαφοδεύουσι. πολὺ γάρ τι τούτου τοῦ περιττώματος τὸ θηρίον προΐεται.

Τοὺς ἐν Ἀραβίᾳ φασὶ καμήλους μὴ ἀναβαίνειν ἐπὶ τὰς μητέρας, ἀλλὰ κἂν βιάσηταί τις, οὐ θέλουσι. καὶ γάρ ποτε λέγεται, ἐπεὶ οὐκ ἦν ὀχεῖον, τὸν ἐπιμελητὴν καλύψαντα ἐφεῖναι τὸν πῶλον. ὡς δ' ὀχεύων ἐπέβη, τότε μὲν ὡς ἔοικε συνετέλεσε, μικρῷ δ' ὕστερον δακὼν τὸν καμηλίτην ἀπέκτεινεν. Τοὺς κόκκυγας φασὶ τοὺς ἐν Ελίκῃ, ὅταν μέλλωσι τίκτειν, μὴ ποιεῖν νεοττίαν, ἀλλ' ἐν ταῖς φάβαις, ἢ ταῖς τῶν φυ-

γόνων ἐντίκτειν, καὶ μήτ' ἐπῳάζειν, μήτ' ἐκκολάπτειν, μήτε τρέφειν αὐτούς· ἀλλ' ὅταν γεννηθῇ ὁ νεοττὸς καὶ ἐκτραφῇ, μεθ' ὧν ἂν τύχῃ συνῇ, τούτους ἐκ τῆς νεοττίας ἐκβάλλειν. γίνεται δ', ὡς ἔοικε, μέγας καὶ καλός, ὥστε ῥᾳδίως κατακρατεῖν τῶν λοιπῶν. τούτῳ δὲ χαίρειν φασὶ καὶ τὰς φάβας οὕτως, ὥστε καὶ αὐτὰς συνεκβάλλειν ἐκείνῳ τοὺς ἰδίους νεοττούς. Αἱ ἐν Κρήτῃ αἶγες ὅταν τοξευθῶσι, ζητοῦσιν, ὡς ἔοικε, τὸ δίκταμον τὸ ἐκεῖ φυόμενον. ὅταν γὰρ φάγωσιν, εὐθὺς ἐκβάλλουσι τὰ τοξεύματα. Φασί τινας ἐν Ἀχαΐᾳ τῶν ἐλάφων, ὅταν ἀποβάλωσι τὰ κέρατα, εἰς τοιούτους τόπους ἔρχεσθαι, ὥστε μὴ ῥᾳδίως εὑρεθῆναι. τοῦτο δὲ ποιεῖν, διὰ τὸ μὴ ἔχειν ᾧ ἀμυνῶνται, καὶ διὰ τὸ πονεῖν τοὺς τόπους ὅθεν τὰ κέρατα ἀπέβαλον· πολλαῖς δὲ κισσὸν ἐπιπεφυκότα ἐν τῷ τῶν κεράτων τόπῳ ὁρᾶσθαι. Ἐν Ἀρμενίᾳ φαρμακόν τι φασὶ φύεσθαι, ὃ καλεῖται παρδάλειον· τοῦτο οὖν, ὅταν ὀφθῇ πάρδαλις, χρίσαντές τι τὸ ἱερεῖον ἀφιᾶσιν. ἡ δὲ ὅταν ἅψηται αὐτοῦ, ζητεῖ, ὡς ἔοικε, τὴν τοῦ ἀνθρώπου κόπρον, διὸ καὶ οἱ κυνηγοὶ εἰς ἀγγεῖον αὐτὴν ἐμβάλλοντες, ἔκ τινος δένδρου κρεμῶσιν, ἵνα προσαλλομένη καὶ ὑπέρκοπος γενομένη, ὑπ' αὐτῆς παραλυθῇ καὶ ὑποχείριος γένηται. Ἐν Αἰγύπτῳ δὲ τοὺς τροχίλους φασὶν εἰσπετομένους εἰς τὰ στόματα τῶν κροκοδείλων, καθαίρειν αὐτῶν τοὺς ὀδόντας, τὰ σαρκία τὰ ἐμπεχόμενα τοῖς ῥύγχεσιν ἐξέλκοντας, τοὺς δὲ ἥδεσθαι, καὶ μηδὲν βλάπτειν αὐτούς. Αἱ ἐν Κεφαλληνίᾳ αἶγες οὐ πίνουσιν, ὡς ἔοικεν, ὥσπερ καὶ τὰ ἄλλα τετράποδα, καθ' ἑκάστην ἡμέραν, ἀλλὰ πρὸς τὸ πνεῦμα ἀντία τὰ πρόσωπα ποιήσασαι, χάσκουσιν εἰσδεχόμεναι τὰ πνεύματα. Φασὶν ἐν Συρίᾳ τῶν ἀγρίων ἵππων ἕνα ἀφηγεῖσθαι τῆς ἀγέλης. ἐπειδὰν δέ τις νεώτερος ὢν τῶν ἄλλων, ἐπὶ τὴν θήλειαν ἀναβῇ, τὸν ἀφηγούμενον θυμοῦσθαι, καὶ διώκειν τέως τοῦτον, ἕως ἂν καταλάβῃ τὸν πῶλον. καὶ ὑποκύψας ἀπὸ τῶν ὀπισθίων σκελῶν

τῷ στόματι ἀποσπᾶσθαι τὰ αἰδοῖα. Τὰς χελώνας φασίν, ὅταν ἐχίδνας φάγωσιν, ἐπεσθίειν τὸ ὀρίγανον· ἐὰν δὲ μὴ θᾶττον εὕρῃ, ἀποθνήσκειν. πολλοὺς δὲ ἀποπειράζοντας τῶν ἀγραυλούντων, εἰ τοῦτ' ἀληθές ἐστιν, ὅταν ἴδωσιν αὐτὴν τοῦτο πράττουσαν, ἐκτίλλειν τὸ ὀρίγανον. τοῦτο δὲ ὅταν ποιήσωσι, μετ' μικρὸν αὐτὴν ὁρᾶσθαι ἀποθνήσκουσαν. Τὸ τοῦ ἴκτιδος λέγεται αἰδοῖον εἶναι οὐχ ὅμοιον τῇ φύσει τῶν λοιπῶν ζώων, ἀλλὰ στερεὸν διὰ παντὸς οἷον ὀστοῦν, ὅπως ἄν ποτε διακειμένη τύχῃ. φασὶ δὲ καὶ στραγγουρίας αὐτὸ φάρμακον εἶναι ἐν τοῖς ἀρίστοις, καὶ δίδοσθαι ἐπιξυόμενον. Τὸν δρυοκολάπτην τὸ ὄρνεον ἐπὶ τῶν δένδρων βαδίζειν φασίν, ὥσπερ τοὺς ἀσκαλαβώτας, καὶ ὕπτιον καὶ ἐπὶ τὴν γαστέρα. νέμεσθαι δὲ λέγεται καὶ τοὺς ἐκ τῶν δένδρων σκώληκας, καὶ οὕτως σφόδρα κατὰ βάθους ὀρύττειν τὰ δένδρα ζητοῦντα τοὺς σκώληκας, ὥστε καὶ καταβάλλειν αὐτά. Φασὶ τοὺς πελεκᾶνας τὰς ἐν τοῖς ποταμοῖς γινομένας κόγχας ὀρύττοντας κατεσθίειν· ἔπειτα ὅταν πλῆθος εἰσφορήσωσιν αὐτῶν, ἐξεμεῖν, εἶθ' οὕτως τὰ μὲν κρέα ἐσθίειν τῶν κογχῶν, τῶν δ' ὀστράκων μὴ ἅπτεσθαι. Ἐν Κυλλήνῃ φασὶ τῆς Ἀρκαδίας, τοὺς κοσσύφους λευκοὺς γίνεσθαι, ἄλλοθι δὲ οὐδαμῇ, καὶ φωνὰς ποικίλας προΐεσθαι· ἐκπορεύεσθαί τε πρὸς τὴν σελήνην. τῆς δ' ἡμέρας εἴ τις ἐπιχειροίη, σφόδρα δυσθεράτους εἶναι. Λέγεται δ' ὑπό τινων μὲν τὸ καλούμενον ἄνθινον περὶ Μῆλον καὶ Κνίδον γίνεσθαι· καὶ εὐῶδες μὲν τῇ ὀσμῇ, ὀλιγοχρόνιον δὲ κατὰ τὴν ξηρασίαν γίνεσθαι. Περὶ Καππαδοκίαν ἔν τισι τόποις ἄνευ κηρίου φασὶν ἐργάζεσθαι τὸ μέλι, γίνεσθαι δὲ τὸ πάχος ὅμοιον ἐλαίῳ. Ἐν Τραπεζοῦντι τῇ ἐν τῷ Πόντῳ γίνεται τὸ ἀπὸ τῆς πύξου μέλι, βαρύοσμον· καὶ φασὶ τοὺς μὲν ὑγιαίνοντας ἐξιστᾶναι, τοὺς δ' ἐπιληπτικοὺς καὶ τελέως ἀπαλλάττειν. Φασὶ δὲ καὶ ἐν Λυδίᾳ ἀπὸ τῶν δένδρων τὸ μέλι γίνεσθαι πολύ, καὶ ποιεῖν ἀπ' αὐτοῦ τοὺς ἐνοικοῦντας ἄνευ κηροῦ

τραχίσκοις, καὶ ἀποπέμποντας χεῖσθαι διὰ περιψῶς σφοδροτέρας. γίνεται μὲν οὖν καὶ ἐν Θρᾴκῃ, οὐχ οὕτω δὲ στερεὸν, ἀλλ' ὡσανεὶ ἀμμῶδες. ἅπαν δὲ μέχρι πηγνύμενον, τὸν ἴσον ὄγκον ἔχειν φασὶν, οὐχ ὥσπερ τὸ ὕδωρ καὶ τὰ ἄλλα ὑγρά. Η χαλκιδικὴ ποα καὶ τὰ ἀμύγδαλα, χρησιμώτατα πρὸς τὸ μέλι ποιεῖν. πλεῖστοι γὰρ γόνοι φασὶν ἐξ αὐτῶν γίνεσθαι. Τὰς μελίττας λέγεται ὑπὸ μύρου καρῦσθαι, καὶ οὐκ ἀνέχεσθαι τὴν ὀσμήν. ἔνιοι δὲ λέγουσι μάλιστα τοὺς μεμυρισμένους τύπτειν. Ἐν Ἰλλυριοῖς φασι τοῖς Ταυλαντίοις καλουμένοις, ἐκ τοῦ μέλιτος ποιεῖν οἶνον. ὅταν δὲ τὰ κηρία ἐκθλίβωσιν, ὕδωρ ἐπιχέοντες, ἕψουσιν ἐν λέβητι ἕως ἂν ἐκλίπῃ τὸ ἥμισυ, ἔπειτα εἰς κεράμια ἐκχέαντες καὶ ἥδιστα ποιήσαντες, τιθέασιν εἰς σανίδας. ἐν ταύταις δέ φασιν ἔχειν πολυχρόνιον, καὶ γίνεσθαι οἰνῶδες, καὶ ἄλλως ἡδὺ καὶ εὔτονον. ἤδη δέ τινες καὶ ἐν Ἑλλάδι συμβεβηκέναι λέγουσι τοῦτο, ὥστε μηδὲν διαφέρειν οἴνου παλαιοῦ, καὶ ζητοῦντας ὕστερον τὴν κρᾶσιν, μὴ δύνασθαι εὑρεῖν. Περὶ Θετταλίαν μνημονεύουσιν ὄφεις ζωογονηθῆναι τοσούτους, ὥστε εἰ μὴ ὑπὸ τῶν πελαργῶν ἀνῃροῦντο, ἐκχωρῆσαι ἂν αὐτούς. διὸ καὶ τιμῶσι τοὺς πελαργοὺς, καὶ κτείνειν οὐ νόμος· καὶ ἐάν τις κτείνῃ, ἔνοχος τοῖς αὐτοῖς γίνεται οἷσπερ καὶ ὁ ἀνδροφόνος. Ὡσαύτως δὲ καὶ ἐν Λακεδαίμονι κατά τινας χρόνους μνημονεύεται γενέσθαι τοσοῦτον πλῆθος ὄφεων, ὥστε διὰ σπανοσιτίαν, καὶ τροφῇ τοὺς λάκωνας χρῆσθαι αὐτοῖς. ὅθεν καὶ τὴν Πυθίαν φάναι προσαγορεύεσθαι αὐτοὺς ὀφιοδείρους. Ἐν Κύπρῳ τῇ νήσῳ λέγεται τοὺς μύας τὸν σίδηρον ἐσθίειν. Φασὶ δὲ καὶ τοὺς Χάλυβας ἔν τινι ὑπερκειμένῳ αὐτοῖς νησιδίῳ τὸ χρυσίον συμφορεῖσθαι περὶ πλειόνων. διὸ καὶ ἐν τοῖς μετάλλοις ἀναχίζουσιν, ὡς ἔοικεν. Λέγεται δὲ ἐκ Σούσων εἰς Μηδίαν ἰοῦσιν ἐν δευτέρῳ σταθμῷ σκορπίων ἄπλετόν τι πλῆθος γενέσθαι. διὸ καὶ ὁ βασιλεὺς ὁ Περσῶν ὅτε διοδεύοι, τρεῖς ἡμέ-

ρας ἔμενε, τοῖς αὐτοῦ πᾶσι συντάσσων ἐκθηρεύειν, ᾧ δὲ πλείστους θηρεύσαντι ἆθλον ἐδίδου. Ἐν Κυρήνῃ δέ φασιν οὐχ ἓν εἶναι μυῶν γένος, ἀλλὰ πλείω καὶ διάφορα καὶ ταῖς μορφαῖς καὶ ταῖς χρόαις. ἐνίους γὰρ πλατυπροσώπους, ὥσπερ αἱ γαλαῖ, γίνεσθαι· τινὰς δὲ ἐχινώδεις, οὓς καλοῦσιν ἐχῖνας. Περὶ Σικελίαν δέ φασιν εἶναι ὕδατος συστρεμμάτιον, εἰς ὃ τὰ πεπνιγμένα τῶν ὀρνέων καὶ τῶν λοιπῶν ζώων, ὅταν ἀποβαφῇ, πάλιν ἀναβιοῖ. Ἐν δὲ Σκύθαις τοῖς καλουμένοις Γελωνοῖς φασι θηρίον γίνεσθαι, σπάνιον μὲν ὑπερβολῇ, ὃ ὀνομάζεται τάρανδος· λέγεται δὲ τοῦτο μεταβάλλειν τὰς χρόας τῶν τριχῶν καθ' ὃν ἂν καὶ τόπον ᾖ. εἶναι δὲ διά τε τοῦτο δυσθήρατον, καὶ διὰ τὴν μεταβολήν. καὶ γὰρ δένδρεσι καὶ τόποις, καὶ ὅλως ἐν οἷς ἂν ᾖ, τοιοῦτον τῇ χρόᾳ γίνεσθαι. θαυμασιώτατον δὲ τὸ τὴν τρίχα μεταβάλλειν· τὰ γὰρ λοιπὰ, τὸν χρῶτα, οἷον ὅ, τε χαμαιλέων καὶ ὁ πολύπους. τὸ δὲ μέγεθος ὡσανεὶ βοῦς. τοῦ δὲ προσώπου τὸν τύπον ὅμοιον ἔχει ἐλάφῳ. Λέγεται δέ τινα ἐν Ἀβύδῳ παρακόψαντα τῇ διανοίᾳ, καὶ εἰς τὸ θέατρον ἐρχόμενον ἐπὶ πολλὰς ἡμέρας, θεωρεῖν, ὡς ὑποκρινομένων τινῶν, καὶ ἐπισημαίνεσθαι· καὶ ὡς κατέστη τῆς παρακοπῆς, ἔφησεν ἐκεῖνον αὐτῷ τὸν χρόνον ἥδιστα βεβιῶσθαι. Καὶ ἐν Τάραντι δέ φασιν οἰνοπώλην τινὰ, τὴν μὲν νύκτα μαίνεσθαι, τὴν ἡμέραν δὲ οἰνοπωλεῖν. καὶ γὰρ τὸ κλειδίον τοῦ οἰκήματος πρὸς τῷ ζωνίῳ διεφύλαττε· πολλῶν δὲ ἐπιχειρούντων παρελέσθαι καὶ λαβεῖν, οὐδέποτε ἀπώλεσεν. Ἐν δὲ Λιπάρᾳ τῇ νήσῳ λέγουσιν εἶναί τινες γῆν, ἧς τὴν ἐὰν κρύψωσι χύτραν, ἐμβάλλοντες ὃ ἐθέλουσιν, ἕψουσιν. Ἔστι δὲ καὶ ἐν Μηδίᾳ καὶ ἐν Ψιττακίνῃ τῆς Περσίδος πυρὰ καιόμενα, τὰ μὲν ἐν Μηδίᾳ, ὀλίγον, τὰ δὲ ἐν Ψιττακίνῃ, πολὺ καὶ καθαρὸν τῇ φλογί. διὸ καὶ μαγειρεῖα πρὸς αὐτῷ κατεσκεύασεν ὁ Περσῶν βασιλεύς. ἄμφω δὲ ἐν ὁμαλοῖς τόποις καὶ οὐκ ἐν ἀνωμάλοις. ἐνταῦθα δὲ νύκτωρ καὶ μεθ' ἡμέραν φανερὰ,

τὰ δ' ἐν Παμφυλίᾳ, νύκτωρ μόνον. Φασὶ δὲ καὶ περὶ Απολλωνίαν, πρὸς τοῖς ὁρίοις τῆς Απολλωνιάτιδος εἶναί τινα πέτραν, ἐξ ἧς τὸ μὲν ἀνιὸν πῦρ οὐ φανερόν ἐστιν, ἐπειδὰν δὲ ἔλαιον ἐπιχυθῇ ἐπ' αὐτήν, ἐκφλογοῦται. Λέγεται δὲ καὶ τὰ ἔξω στηλῶν Ηρακλείων καίεσθαι, τὰ μὲν, διὰ παντός, τὰ δὲ νύκτωρ μόνον, ὡς Αννωνος περίπλους ἱστορεῖ. καὶ τὸ ἐν τῇ Λιπάρᾳ δὲ φανερὸν καὶ φλογῶδες, οὐ μὴν ἡμέρας, ἀλλὰ νυκτὸς μόνον. εἶναι δὲ καὶ ἐν Πιθηκούσαις φασὶ πυρῶδες μὲν καὶ θερμὸν ἐκτόπως, οὐ μὴν καιόμενον. τὸ δ' ἐν τῇ Λιπάρᾳ ποτὲ καὶ ἐκλείπειν φησὶ Ξενοφάνης ἔτη ἑκκαίδεκα, τῷ δὲ ἑβδόμῳ ἐπανελθεῖν. Τὸν δ' ἐν τῇ Αἴτνῃ ῥύακα, οὔτε φλογώδη φασίν, οὔτε συνεχῆ, ἀλλὰ διὰ πολλῶν ἐτῶν γίνεσθαι. Λέγεται δὲ καὶ περὶ Λυδίαν ἀναφέρεσθαι πῦρ πάμπληθες καὶ καίεσθαι ἐφ' ἡμέρας ἑπτά. Θαυμαστότατον δὲ τὸ ἐν Σικελίᾳ περὶ τὸν ῥύακα γινόμενον. τὸ γὰρ πλάτος ἐστὶ τὸ τῆς τοῦ πυρὸς ἀναζέσεως τεσσαράκοντα σταδίων· τὸ δὲ ὕψος οὗ φέρεται, τριῶν. Φασὶ δὲ τὸν ἐν τῇ Θρᾴκῃ λίθον τὸν καλούμενον σπῖνον, διακοπέντα καίεσθαι, καὶ συντεθέντα πρὸς ἑαυτόν, ὥσπερ τὴν σμαρίλην, οὕτως καὶ τοῦτον εἰς ἑαυτὸν τεθέντα καὶ ἐπιρραινόμενον ὕδατι, καίεσθαι. τὸ δ' αὐτὸ ποιεῖν καὶ τὸν μαρίθαν. Περὶ Φιλίππους τῆς Μακεδονίας εἶναι λέγουσι μέταλλα, ἐξ ὧν τὰ ἐκβαλλόμενα ἀποσύρματα αὐξαίνεσθαί φασι καὶ φύειν χρυσίον, καὶ τοῦτο εἶναι φανερόν. Φασὶ καὶ ἐν Κύπρῳ περὶ τὸν λεγόμενον Τυρρίαν χαλκὸν ὅμοιον γίνεσθαι. κατακόψαντες γάρ, ὡς ἔοικεν, εἰς μικρά, σπείρουσιν αὐτόν· εἶτα ὑδάτων ἐπιγινομένων, αὐξαίνεται καὶ ἀνίεται, καὶ οὕτως συνάγεται. Φασὶ δὲ καὶ ἐν Μήλῳ τῇ νήσῳ ἐν τοῖς ἐξορυσσομένοις τόποις τῆς γῆς, πάλιν ἀναπληρώματα γίνεσθαι. Περὶ Παιονίαν λέγουσιν, ὅταν συνεχεῖς οἱ ὄμβροι γίνωνται, εὑρίσκεσθαι, περιτηκομένης τῆς γῆς, χρυσὸν τὸν καλούμενον ἄπυρον. Λέγουσι δ'

ἐν τῇ Παιονίᾳ οὕτω χρυσίζειν τὴν γῆν, ὥστε πολλοὺς εὑρηκέναι καὶ ὑπὲρ τὴν μνᾶν χρυσίου ὁλκήν. τῷ δὲ βασιλεῖ φασιν εὑρόντας ἀνενέγκειν δύο βώλους, τὴν μὲν τρεῖς μνᾶς ἄγοντα, τὴν δὲ πέντε· οὕς φασιν ἐπὶ τῆς τραπέζης αὐτῷ παρακεῖσθαι, καὶ ἐπ' ἐκείνων πρῶτον, εἴ τι ἐσθίει, ἀπάρχεσθαι. Φασὶ δὲ καὶ ἐν Βάκτροις τὸν Ὦξον ποταμὸν καταφέρειν βώλια χρυσᾶ πολλά. καὶ ἐν Ἰβηρίᾳ δὲ τὸν καλούμενον Θεόδωρον ποταμὸν ἐμβεβράσσειν τε πολὺ περὶ τὰ χείλη χρυσίον, ὁμοίως δὲ καὶ καταφέρειν. Λέγεται δὲ καὶ ἐν Πιερίᾳ τῆς Μακεδονίας ἄσημόν τι χρυσίον κατορωρυγμένον ὑπὸ τῶν ἀρχαίων βασιλέων, χασμάτων τεττάρων ὄντων, ἐξ ἑνὸς αὐτῶν ἀναφυῆναι χρυσίον, τὸ μέγεθος σπιθαμιαῖον. Λέγεται δὲ ἰδιωτάτην εἶναι γένεσιν σιδήρου τοῦ Χαλυβικοῦ καὶ τοῦ Μισικοῦ. συμφύεται γάρ, ὥς γε λέγουσιν, ἐκ τῆς ἄμμου τῆς καταφερομένης ἐκ τῶν ποταμῶν. ταύτην δὲ οἱ μὲν ἁπλῶς φασι πλύναντες καμινεύειν, οἱ δὲ τὴν ὑπόστασιν τὴν γενομένην ἐκ τῆς φύσεως πολλάκις πλυθεῖσαν συγκαίειν· παρεμβάλλειν δὲ τὸν πυρίμαχον καλούμενον λίθον, εἶναι δὲ ἐν τῇ χώρᾳ πολύν. οὗτος δὴ ὁ σίδηρος πολὺ τῶν ἄλλων γίνεται καλλίων. εἰ δὲ μὴ ἐν μιᾷ καμίνῳ ἐκαίετο, οὐδὲν ἄν, ὡς ἔοικε, διέφερε τοῦ ἀργυρείου. μόνον δέ φασιν αὐτὸν ἀνίωτον, οὐ πολὺν δὲ γίνεσθαι. Φασὶ δὲ καὶ ἐν Ἰνδοῖς τὸν χαλκὸν οὕτως εἶναι λαμπρὸν καὶ καθαρὸν καὶ ἀνίωτον, ὡς μὴ διαγινώσκεσθαι τῇ χρόᾳ πρὸς τὸν χρυσόν· ἀλλ' ἐν τοῖς Δαρείου ποτηρίοις βατιακὰς εἶναί τινας καὶ πλείους, ἃς εἰ μὴ τῇ ὀσμῇ, ἄλλως οὐκ ἦν διαγνῶναι πότεροί εἰσι χαλκαῖ ἢ χρυσαῖ. Τὸν κασσίτερον τὸν κελτικὸν τήκεσθαί φασι πολὺ τάχιον μολύβδου. σημεῖον δὲ τῆς εὐτηξίας ὅτι τήκεσθαι δοκεῖ καὶ ἐν τῷ ὕδατι. χρώζει γοῦν, ὡς ἔοικε, ταχύ. τήκεται δὲ καὶ ἐν τοῖς ψύχεσιν, ὅταν γένοιτο πάγη, ἐγκατακλειομένου ἐντός, ὥς φασιν, καὶ συνωθουμένου τοῦ θερμοῦ τοῦ ἐνυπάρχοντος αὐτῷ, διὰ τὴν ἀσθένειαν.

Ἐν τῷ Πανθείῳ ἐστὶν ἐλαία, καλεῖται δὲ καλλιστέφανος· ταύτης δὲ πάντα τὰ φύλλα ταῖς λοιπαῖς ἐλαίαις ἐναντία πέφυκεν. ἔξω γὰρ δὴ οὐκ ἐντὸς ἔχει τὰ χλωρά, ἀφίησί τε τοὺς πτόρθους ὥσπερ ἡ μύρτος εἰς τοὺς στεφάνους συμμέτρως. ἀπὸ ταύτης δὲ φυτὸν λαβὼν ὁ Ἡρακλῆς ἐφύτευσεν ὀλυμπιάσιν, ἀφ' ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται. ἔστι δὲ αὕτη παρὰ τὸν Ἰλισσὸν ποταμόν, σταδίοις ἑξήκοντα τοῦ ποταμοῦ ἀπέχουσα. περιῳκοδόμηται δέ, καὶ ζημία μεγάλη τῷ θιγόντι αὐτῆς ἐστιν. ἀπὸ ταύτης δὲ τὸ φυτὸν λαβόντες ἐφύτευσαν Ἠλεῖοι ἐν ὀλυμπίᾳ, καὶ τοὺς στεφάνους ἀπ' αὐτῆς ἔδωκαν. Ἐν τοῖς περὶ Λυδίαν μετάλλοις τοῖς περὶ Πέργαμον, ἃ δὴ καὶ Κροῖσος εἰργάσατο, πολέμου τινὸς γενομένου, κατέφυγον οἱ ἐργαζόμενοι ἐπ' αὐτά· τοῦ δὲ στομίου ἐποικοδομηθέντος, ἀπεπνίγησαν· καὶ ὕστερον χρόνῳ πολλῷ τῶν μετάλλων ἀνακαθαρθέντων, εὑρέθη οἷς ἐχρῶντο ἀγγείοις πρὸς τὰς ὑπὸ χεῖρα χρείας ἀπολελιθωμένα, οἷον ἀμφορεῖς καὶ τὰ τοιουτότροπα. ταῦτα δὴ πεπληρωμένα οὗτινος ἔτυχον ὑγροῦ ἐλελίθωτο, καὶ προσέτι τὰ ὀστᾶ τῶν ἀνθρώπων. Ἐν τῇ Ἀσκανίᾳ λίμνῃ οὕτω νιτρῶδές ἐστι τὸ ὕδωρ, ὥστε τὰ ἱμάτια οὐδενὸς ἑτέρου ῥύμματος προσδεῖσθαι· κἂν πλείω χρόνον ἐν τῷ ὕδατι ἐάσῃ τις, διαπίπτει. Περὶ τὴν Ἀσκανίαν λίμνην Μυθήπολίς ἐστιν, κώμη ἀπέχουσα Κίου ὡς σταδίους ἑκατὸν εἴκοσι, ἐν ᾗ τοῦ χειμῶνος ἀναξηραίνεται πάντα τὰ φρέατα, ὥστε μὴ οὐδὲ χρῆσθαι βάψαι τὸ ἀγγεῖον· τοῦ δὲ θέρους πληροῦται ἕως τοῦ στόματος. Ὁ πορθμὸς ὁ μεταξὺ Σικελίας καὶ Ἰταλίας αὔξεται καὶ φθίνει ἅμα τῷ σεληνίῳ, καὶ διότι ἐπὶ τῆς ὁδοῦ τῆς εἰς Συρακούσας κρήνη ἐστὶν ἐν λειμῶνι οὔτε μεγάλη, οὔτε ὕδωρ ἔχουσα πολύ. συναπαντήσαντος δὲ εἰς τὸν τόπον ὄχλου πολλοῦ, παρέσχεν ὕδωρ ἄφθονον. Ἔστι δὲ καὶ κρήνη τις ἐν Παλικοῖς τῆς Σικελίας, ὡς δεκάκλινος· αὕτη δ' ἀναρρίπτει ὕδωρ εἰς ὕψος ἓξ πήχεις, ὥστε ὑπὸ τῶν ἰδόντων

νομίζεσθαι κατακλυσθῆναι τὸ πεδίον· καὶ πάλιν εἰς ταυτὸ καθίστασθαι. ἔστι δὲ καὶ ὅρκος ὃς ἅγιος αὐτόθι δοκεῖ εἶναι· ὅσα γὰρ ὄμνυσί τις, γράψας εἰς πινακίδιον, ἐμβάλλει εἰς τὸ ὕδωρ. ἐὰν μὲν οὖν εὐορκῇ, ἐπιπολάζει τὸ πινακίδιον· ἐὰν δὲ μὴ εὐορκῇ, τὸ μὲν πινακίδιον, βαρὺ γενόμενον, ἀφανίζεσθαί φασι, τὸν δ᾽ ἄνθρωπον πίμπρασθαι. διὸ δὴ λαμβάνειν τὸν ἱερέα παρ᾽ αὐτοῦ ἐγγύας ὑπὲρ τοῦ καθαίρειν τινὰ τὸ ἱερόν. Δημόνησος ἡ Καρχηδονίων νῆσος, ἀπὸ Δημονήσου τοῦ πρώτου ἐργασαμένου τὴν ἐπωνυμίαν εἴληφεν, ἔχει δὲ ὁ τόπος κυανοῦ τὸ μέταλλον, καὶ χρυσοκόλλης. ταύτης δ᾽ ἡ καλλίστη πρὸς χρυσίον διεύρίσκει τιμήν. καὶ γὰρ φάρμακον ὀφθαλμῶν ἐστιν. ἔστι δὲ αὐτόθι χαλκὸς κολυμβητὴς ἐν δυεῖν ὀργυιαῖς τῆς θαλάσσης· ὅθεν ὁ ἐν Σικυῶνι ἐστὶν ἀνδριὰς ἐν τῷ ἀρχαίῳ ναῷ τοῦ Ἀπόλλωνος· καὶ ἐν Φενεῷ οἱ ὀρείχαλκοι καλούμενοι. ἐπιγέγραπται δὲ αὐτοῖς, Ἡρακλῆς ὁ Ἀμφιτρύωνος Ἦλιν ἑλὼν ἀνέθηκεν. αἱρεῖ δὲ τὴν Ἦλιν, ἡγουμένης κατὰ χρησμὸν γυναικός, ἧς τὸν πατέρα Αὐγείαν ἀπέκτεινεν. οἱ δὲ τὸν χαλκὸν ὀρύττοντες, ὀξυδερκέστατοι γίνονται, καὶ οἱ βλεφαρίδας μὴ ἔχοντες, φύουσι. παρὸ καὶ οἱ ἰατροὶ τῷ ἄνθει τοῦ χαλκοῦ καὶ τῇ τέφρᾳ τῇ Φρυγίᾳ χρῶνται πρὸς τοὺς ὀφθαλμούς. Ἔστι γὰρ αὐτόθι σπήλαιον ὃ καλεῖται γλαφυρόν· ἐν δὲ τούτῳ κίονες πεπήγασιν ἀπό τινων σταλαγμῶν. ἀποδηλοῖ δὲ τοῦτο ἐν τῇ ἀναγωγῇ τῇ πρὸς τὸ ἔδαφος. ἔστι γὰρ ταύτῃ στενότατον. Ἐκ τοῦ Σκύρου δὲ τῶν ἀετῶν θάτερον τῶν ἀγόνων διαιετῶς γίνεται παράλλαξ, ἕως ἂν σύζυγα φύῃ. ἐκ δὲ διαιέτων φωνὴ γίνεται, ἐκ δὲ τούτων οἱ περκνοὶ καὶ γῦπες. οὗτοι δὲ οὐκέτι διορίζουσι περὶ τοὺς γῦπας, ἀλλὰ γεννῶσι τοὺς μεγάλους γῦπας. οὗτοι δ᾽ εἰσὶν ἄγονοι· σημεῖον δὲ τοῦτο, διότι νεοττίαν οὐδεὶς ἑώρακε γυπὸς μεγάλου. Θαυμαστὸν δέ τι, φασὶν, ἐν Ἰνδοῖς περὶ τὸν ἐκεῖ μόλυβδον συμβαίνει. ὅταν γὰρ τακεὶς εἰς ὕδωρ καταχυθῇ ψυχρόν, ἐκπηδᾶν ἐκ τοῦ ὕδατος.

Φασὶ

Φασὶ τὸν Μοσσύνοικον χαλκὸν λαμπρότατον καὶ λευκότατον εἶναι, οὐ παραμιγνυμένου αὐτῷ κασσιτέρου, ἀλλὰ γῆς τινος αὐτοῦ γινομένης καὶ συνεψομένης αὐτῷ. λέγουσι δὲ τὸν εὑρόντα τὴν κρᾶσιν, μηδένα διδάξαι· διὸ τὰ προγεγονότα ἐν τοῖς τόποις χαλκώματα διάφορα, τὰ δ' ἐπιγινόμενα, οὐκέτι. Ἐν τῷ Πόντῳ λέγουσι τοῦ χειμῶνος τῶν ὀρνέων τινὰ εὑρίσκεσθαι φωλεύοντα, οὔτε δὲ ἀφοδεύοντα, οὔτε ὅταν τὰ πτερὰ αὐτῶν τίλλωσιν, αἰσθάνεσθαι, οὔτε ὅταν ἐπὶ τὸν ὀβελίσκον ἀναπαρῇ, οὔτε ὅταν ὑπὸ τοῦ πυρὸς διακαυθῇ. πολλοὺς δὲ καὶ τῶν ἰχθύων λέγουσι περικοπέντας καὶ διατμηθέντας μὴ αἰσθάνεσθαι, ἀλλ' ὅταν ὑπὸ τοῦ πυρὸς θερμανθῶσιν. Ἡ μέλιττα δοκεῖ τὰς τροπὰς σημαίνειν τῷ ἐπὶ τὰ ἔργα βαδίζειν· ᾧ καὶ οἱ μελιττοπῶλοι σημείῳ χρῶνται. ἠρεμία γὰρ αὐτῶν γίνεται. δοκοῦσι δὲ καὶ οἱ τέττιγες ᾄδειν μετὰ τροπάς. Φασὶ δὲ καὶ τὸν ἐχῖνον ἄσιτον διαμένειν ἄχρις ἐνιαυτοῦ. Τὸν δὲ γαλεώτην, ὅταν ἐκδύσηται τὸ δέρμα, καθάπερ οἱ ὄφεις, ἐπιστραφέντα καταπίνειν. τηρεῖται γὰρ ὑπὸ τῶν ἰατρῶν, διὰ τὸ χρήσιμον εἶναι τοῖς ἐπιληπτικοῖς. Λέγουσι δὲ καὶ τὸ τῆς ἄρκτου στέαρ, ὅταν διαπεπηγὸς ᾖ διὰ τὸν χειμῶνα, καθ' ὃν ἂν χρόνον ἐκείνη φωλεύῃ, αὔξεσθαι καὶ ὑπεραίρειν τὰ ἀγγεῖα ἐν οἷς ἂν ᾖ. Ἐν Κυρήνῃ φασὶ τοὺς ὄντας βατράχους ἀφώνους τὸ παράπαν εἶναι. καὶ ἐν Μακεδονίᾳ δὲ ἐν τῇ τῶν Ἠμαθιωτῶν χώρᾳ τοὺς σῦς εἶναι μώνυχας. Ἐν Καππαδοκίᾳ φασὶν ἡμιόνους εἶναι γονίμους καὶ ἐν Κρήτῃ αἰγείρους καρποφόρους. Φασὶ δὲ καὶ ἐν Σερίφῳ τοὺς βατράχους οὐκ ᾄδειν· ἐὰν δὲ εἰς ἄλλον τόπον μετενεχθῶσιν, ᾄδουσι. Ἐν Ἰνδοῖς ἐν τῷ Κέρατι καλουμένῳ ἰχθύδια φασὶ γίνεσθαι, ἃ ἐν τῷ ξηρῷ πλανᾶται, καὶ πάλιν ἀποπηδᾷ εἰς τὸν ποταμόν. Φασὶ δὲ καὶ περὶ Βαβυλῶνα τινὲς ἰχθύδιά τινα μένειν ἐν ταῖς ψώγλαις ταῖς ἐχούσαις ὑγρότητα ξηραινομένου τοῦ ποταμοῦ, τούτους ἐξιόντας ἐπὶ τὰς ἅλως νέμεσθαι, καὶ βαδίζειν ἐπὶ τῶν πτερύγων, καὶ ἀνακινεῖν τὴν οὐράν, καὶ ὅταν διώκωνται,

φθόγγον, καὶ εἰς δύωτας ἀντιπροσώπως ἵστασθαι. πολλάκις γὰρ προσιέναι τινὰς καὶ ἐρεθίζειν. ἔχουσι δὲ τὴν κεφαλὴν ὁμοίαν βατράχῳ θαλαττίῳ, τὸ δὲ ἄλλο σῶμα κωβιῷ· βράγχια δὲ ὥσπερ καὶ οἱ ἄλλοι ἰχθύες. Εν Ηρακλείᾳ δὲ τῇ ἐν τῷ Πόντῳ καὶ ἐν Ρηγίῳ γίνεσθαί φασιν ὀρυκτοὺς ἰχθύας, τούτους μάλιστα κατὰ τὰ ποτάμια καὶ τὰ ἔνυδρα χωρία. συμβαίνειν δέ ποτε, ἀναξηραινομένων τῶν χωρίων, κατά τινας χρόνους συστέλλεσθαι κατὰ τῆς γῆς, εἶτα μᾶλλον ἀναξηραινομένης, διώκοντας τὴν ὑγρότητα, δύεσθαι εἰς τὴν ἰλύν, εἶτα ξηραινομένης διαμένειν ἐν τῇ ἰκμάδι, ὥσπερ τὰ ἐν τοῖς φωλεαῖς διαρκοῦντα. ὅταν δὲ ἀνασκάπτωνται, πρὶν ἢ τὰ ὕδατα ἐπιγίνεσθαι, τότε κινεῖσθαι.

Φασὶ δὲ καὶ περὶ Παφλαγονίαν τοὺς ὀρυκτοὺς γίνεσθαι ἰχθῦς κατὰ βάθους· τούτους δὲ τῇ ἀρετῇ ἀγαθούς, οὔτε ὑδάτων φανερῶν πλησίον ὄντων, οὔτε ποταμῶν ἐπιρρεόντων, ἀλλ᾽ αὐτῆς ζωογονούσης τῆς γῆς. Τὰς ἐν Ηπείρῳ ἐλάφους κατορύττειν φασὶ τὸ δεξιὸν κέρας, ὅταν ἀποβάλωσι, καὶ εἶναι πρὸς πολλὰ χρήσιμον. Φασὶ δὲ καὶ τὴν φώκην ἐξεμεῖν τὴν πυτίαν, ὅταν ἁλίσκηται· εἶναι δὲ φαρμακῶδες, καὶ τοῖς ἐπιλήπτοις χρήσιμον. Καὶ τὴν λύγγα δέ φασι τὸ οὖρον κατακαλύπτειν, διὰ τὸ πρὸς ἄλλα τε χρήσιμον εἶναι, καὶ τὰς σφραγῖδας. Λέγεται δὲ περὶ τὴν Ιταλίαν ἐν τῷ Κιρκαίῳ ὄρει φαρμακόν τι φύεσθαι θανάσιμον, ὃ τοιαύτην ἔχει τὴν δύναμιν, ὥστε ἂν προσρανθῇ τινι, παραχρῆμα πίπτειν ποιεῖ, καὶ τὰς τρίχας τὰς ἐν τῷ σώματι ἀπομαδᾶν, καὶ τὸ σύνολον τοῦ σώματος διαρρεῖν τὰ μέλη, ὥστε τὴν ἐπιφάνειαν τοῦ σώματος εἶναι τῶν ἀπολλυμένων ἐλεεινήν. τοῦτο δέ φασι μέλλοντας διδόναι Κλεωνύμῳ τῷ Σπαρτιάτῃ Παῦλον τὸν Γευκέστιον καὶ Γάϊον φωραθῆναι, καὶ ἐξετασθέντας ὑπὸ Ταραντίνων θανατωθῆναι. Εν τῇ Διομηδείᾳ νήσῳ, ἣ κεῖται ἐν τῷ Αδρίᾳ, φασὶν ἱερόν τι εἶναι τοῦ Διομήδους θαυμαστόν τι καὶ ἅγιον. περὶ

δὲ τὸ ἱερὸν κύκλῳ περικαθῆσθαι ὄρνιθας μεγάλους τοῖς μεγέθεσι, καὶ ῥύγχη ἔχοντας μεγάλα καὶ σκληρά· τούτους λέγουσιν, ἐὰν μὲν Ἕλληνες ἀποβαίνωσιν εἰς τὸν τόπον, ἡσυχίαν ἔχειν· ἐὰν δὲ τῶν βαρβάρων τινὲς τῶν περιοίκων, ἀνίπτασθαι, καὶ αἰωρουμένους καταράσσειν αὐτοὺς εἰς τὰς κεφαλὰς αὐτῶν, καὶ τοῖς ῥύγχεσι τιτρώσκοντας ἀποκτείνειν. μυθεύεται δὲ τούτους γενέσθαι ἐκ τῶν ἑταίρων τοῦ Διομήδους, ναυαγησάντων μὲν αὐτῶν περὶ τὴν νῆσον, τοῦ δὲ Διομήδους δολοφονηθέντος ὑπὸ τοῦ Αἰνέου τοῦ τότε βασιλέως τῶν τόπων ἐκείνων γενομένου. Παρὰ τοῖς Ὀμβρικοῖς φασὶ τὰ βοσκήματα τρὶς τίκτειν τοῦ ἐνιαυτοῦ, καὶ τοὺς καρποὺς αὐτοῖς τὴν γῆν πολλαπλασίους ἀποδιδόναι τῶν καταβληθέντων. εἶναι δὲ καὶ τὰς γυναῖκας πολυγόνους, καὶ σπανίως ἓν τίκτειν, τὰς δὲ πλείστας δύο καὶ τρία. Ἐν ταῖς Ἠλεκτρίσι νήσοις, αἳ κεῖνται ἐν τῷ μυχῷ τοῦ Ἀδρίου, φασὶν εἶναι δύο ἀνδριάντας ἀνακειμένους, τὸν μὲν κασσιτέρινον, τὸν δὲ χαλκοῦν, εἰργασμένους τὸν ἀρχαῖον τρόπον. λέγεται δὲ τούτους Δαιδάλου εἶναι ἔργα, ὑπόμνημα τῶν πάλαι, ὅτε Μίνω φεύγων ἐκ Σικελίας καὶ Κρήτης, εἰς τούτους τοὺς τόπους παρέβαλε. ταύτας δὲ τὰς νήσους φασὶ προσκεχωκέναι τὸν Ἠριδανὸν ποταμόν. ἔστι δὲ λίμνη ἔοικε πλησίον τοῦ ποταμοῦ, ὕδωρ ἔχουσα θερμόν· ὀσμὴ δ' ἀπ' αὐτῆς βαρεῖα, καὶ χαλεπὴ ἀποπνεῖ, καὶ οὔτε ζῷον οὐδὲν πίνει ἐξ αὐτῆς, οὔτε ὄρνεον ὑπερίπταται, ἀλλὰ πίπτει καὶ ἀποθνήσκει. ἔχει δὲ τὸν μὲν κύκλον σταδίων διακοσίων, τὸ δὲ εὖρος, ἕως δέκα. μυθεύουσι δὲ οἱ ἐγχώριοι Φαέθοντα κεραυνωθέντα πεσεῖν εἰς ταύτην τὴν λίμνην. εἶναι δ' ἐν αὐτῇ αἰγείρους πολλάς, ἐξ ὧν ἐκπίπτειν τὸ καλούμενον ἤλεκτρον. οἱ δὲ λέγουσιν ὅμοιον εἶναι κόμμι, διὰ τὸ ἀποσκληρύνεσθαι ὡσανεὶ λίθον, καὶ συλλεγόμενον ὑπὸ τῶν ἐγχωρίων διαφέρεσθαι εἰς τοὺς Ἕλληνας. εἰς ταύτας οὖν τὰς νήσους Δαίδαλόν φασιν ἐλθεῖν, καὶ κατασχόντα αὐτάς, ἀναθεῖναι ἐν μιᾷ αὐτῶν τὴν αὐτοῦ εἰκόνα,

καὶ τὴν τοῦ υἱοῦ Ἰκάρου ἐν τῇ ἑτέρᾳ. ὕστερον δὲ ἐπιπλευσάντων Πελασγῶν τῶν ἐκπεσόντων ἐξ Ἄργους, φυγεῖν τὸν Δαίδαλον, καὶ ἀφικέσθαι εἰς Ἴκαρον τὴν νῆσον. Ἐν τῇ Σικελίᾳ τῇ καλουμένῃ Αἴτνῃ, σπήλαιόν τι λέγεται εἶναι, περὶ ὃ κύκλῳ πεφυκέναι φασὶ τῶν τε ἄλλων ἀνθέων πλῆθος ἀνὰ πᾶσαν ὥραν, πολὺ δὲ μάλιστα τῶν ἴων ἀπέραντόν τινα τόπον συμπεπληρῶσθαι, ἃ τὴν σύνεγγυς χώραν εὐωδίας πληροῖ, ὥστε τοὺς κυνηγοῦντας, τῶν κυνῶν κρατουμένων ὑπὸ τῆς ὀδμῆς, ἐξαδυνατεῖν τοὺς λαγὼς ἰχνεύειν. διὰ δὲ τούτου τοῦ χάσματος, ἀσυμφανής ἐστιν ὑπόνομος, καθ᾽ ὅν φασι τὴν ἁρπαγὴν ποιήσασθαι τὸν Πλούτωνα τῆς Κόρης. εὑρίσκεσθαι δέ φασιν ἐν τούτῳ τῷ τόπῳ πυρούς, οὔτε τοῖς ἐγχωρίοις ὁμοίους οἷς χρῶνται, οὔτε ἄλλοις ἐπεισάκτοις, ἀλλ᾽ ἰδιότητά τινα μεγάλην ἔχοντας. καὶ τούτῳ σημειοῦνται τὸ πρῶτον παρ᾽ αὐτοῖς φανῆναι πύρινον καρπόν· ὅθεν καὶ τῆς Δήμητρος ἀντιποιοῦνται, φάμενοι παρ᾽ αὐτοῖς τὴν θεὸν γεγονέναι. Ἐν Κρήτῃ λύκους καὶ ἄρκτους, ἰὺς τ᾽ ἔχις, ὁμοίως δὲ καὶ τὰ παραπλήσια τούτοις θηρία οὔ φασι γίνεσθαι, διὰ τὸ τὸν Δία γενέσθαι ἐν αὐτῇ. Ἐν τῇ θαλάσσῃ τῇ ἔξω Ἡρακλείων στηλῶν, φασὶν ὑπὸ Καρχηδονίων νῆσον εὑρεθῆναι ἐρήμην, ἔχουσαν ὕλην τε παντοδαπήν, καὶ ποταμοὺς πλωτούς, καὶ τοῖς λοιποῖς καρποῖς θαυμαστήν, ἀπέχουσαν δὲ πλειόνων ἡμερῶν· ἐν ᾗ ἐπιμισγομένων τῶν Καρχηδονίων πλεονάκις διὰ τὴν εὐδαιμονίαν, ἐνίων γε μὴν καὶ οἰκούντων, τοὺς προεστῶτας τῶν Καρχηδονίων ἀπείπασθαι θανάτῳ ζημιοῦν τοὺς εἰς αὐτὴν πλευσομένους, καὶ τοὺς ἐνοικοῦντας πάντας ἀφανίσαι, ἵνα μὴ διαγγέλλωσι, μηδὲ πλῆθος συστραφὲν ἐπ᾽ αὐτῶν ἐπὶ τὴν νῆσον κυρίας τύχῃ, καὶ τὴν τῶν Καρχηδονίων εὐδαιμονίαν ἀφέληται. Ἐκ τῆς Ἰταλίας φασὶν ἕως τῆς Κελτικῆς καὶ Κελτολιγύων καὶ Ἰβήρων εἶναί τινα ὁδὸν Ἡράκλειαν καλουμένην, δι᾽ ἧς ἐάν τε Ἕλλην, ἐάν τε

ἐγχώριός τις πορεύηται, τηρεῖσθαι ὑπὸ τῶν παροικούντων, ὅπως μηδὲν ἀδικηθῇ. τὴν γὰρ ζημίαν ἐκτίνειν καθ' οὓς γένηται τὸ ἀδίκημα. Φασὶ δὲ παρὰ τοῖς Κελτοῖς φάρμακον ὑπάρχειν τὸ καλούμενον ὑπ' αὐτῶν τοξικόν, ὃ λέγουσιν οὕτω ταχεῖαν ποιεῖν τὴν φθοράν, ὥστε τοὺς Κελτῶν τοὺς κυνηγοῦντας, ὅταν ἔλαφον ἢ ἄλλο τι ζῷον τοξεύσωσιν, ἐπιτρέχοντας ἐκ σπουδῆς ἐκτέμνειν τῆς σαρκὸς τὸ τετρωμένον, πρὸς τὸ φάρμακον μὴ διαδῦναι, ἅμα μὲν τῆς προσφορᾶς ἕνεκα, ἅμα δὲ ὅπως μὴ σαπῇ τὸ ζῷον. εὑρῆσθαι δὲ τούτῳ λέγουσιν ἀντιφάρμακον, τὸν τῆς δρυὸς φλοιόν· οἱ δ' ἕτερόν τι φύλλον, ὃ καλοῦσι κοράκιον, διὰ τὸ κατανενοηκέναι ὑπ' αὐτῶν κόρακα γευσάμενον τοῦ φαρμάκου, καὶ κακῶς διατιθέμενον, ἐπὶ τὸ φύλλον ὁρμήσαντα τοῦτο, καὶ καταπιόντα, παύσασθαι τῆς ἀλγηδόνος. Εν τῇ Ιβηρίᾳ λέγουσι τῶν δρυμῶν ἐμπρησθέντων ὑπό τινων ποιμένων, καὶ τῆς γῆς διαθερμανθείσης ὑπὸ τῆς ὕλης, φανερῶς ἀργύρῳ ῥεῦσαι τὴν χώραν, καὶ μετὰ χρόνον σεισμῶν ἐπιγενομένων, καὶ τῶν τόπων ῥαγέντων, πάμπληθες συναχθῆναι ἀργύριον. ὃ δὴ καὶ τοῖς Μασσαλιώταις πρόσοδον ἐποίησεν οὐ τὴν τυχοῦσαν. Εν ταῖς Γυμνησίαις ταῖς κειμέναις νήσοις κατὰ τὴν Ιβηρίαν μετὰ τὰς λεγομένας ἑπτά, αἳ μέγισται δοκοῦσιν εἶναι, φασὶν ἔλαιον μὴ γίνεσθαι ἐξ ἐλαιῶν, ἐκ δὲ τῆς τερμίνθου κομιδῆ πολύ, καὶ εἰς πάντα ἁρμόττον. λέγουσι δὲ οὕτω τοὺς οἰκοῦντας αὐτὰς Ιβηρας καταγυναίους εἶναι, ὥστε ἀντὶ ἑνὸς σώματος θηλυκοῦ διδόναι τοῖς ἐμπόροις τέτταρα καὶ πέντε σώματα ἄρρενα. στρατευόμενοι δὲ παρὰ Καρχηδονίοις, τοὺς μισθοὺς ὅταν λάβωσιν, ἄλλο μὲν οὐδέν, ὡς ἔοικεν, ἀγοράζουσι, γυναῖκας δέ. οὐ γὰρ χρυσίον οὐδὲ ἀργύριον ἔξεστι παρ' αὐτοῖς οὐδένα ἔχειν. ἐπιλέγεται οὖν τι τοιοῦτον, ἐπὶ τῷ κωλύειν χρήματα εἰσάγειν αὐτοῖς, ὅτι τὴν στρατείαν Ἡρακλῆς ἐποιήσατο ἐπὶ τὴν Ιβηρίαν, διὰ τοὺς τῶν ἐνοικούντων πλούτους. Εν τῇ τῶν Μασσαλιωτῶν

χώρα περὶ τὴν Λιγυστικὴν φασὶν εἶναί τινα λίμνην, ταύτην δὲ ἀναζεῖν καὶ ὑπερχεῖσθαι, καὶ τοσούτους ἰχθῦς ἐκβάλλειν τὸ πλῆθος, ὥστε μὴ πιστεύειν· ἐπειδὰν δὲ οἱ ἐτησίαι πνεύσωσιν, ἐπιχώννυσθαι τὸ ἔδαφος ἐπ' αὐτῆς, καὶ τοσοῦτον κονιορτὸν γίνεσθαι αὐτόθι, καὶ ἀποστερεῖσθαι τὴν ἐπιφάνειαν αὐτῆς ὡσανεὶ ἔδαφος. τοῖς δὲ τριόδουσι διακόπτοντας τοὺς ἐγχωρίους, ἑτοίμως ὅσους ἂν βούλωνται ἰχθύας ἐξαίρειν ἐξ αὐτοῦ. Λέγεται δέ τινας τῶν λιγυστίων οὕτως σφενδονᾶν, ὥστε ὅταν πλείους ἴδωσιν ὄρνιθας, διερίζεσθαι πρὸς ἀλλήλους, ποῖον ἕκαστος παρασκευάζεται βαλεῖν, ὡς ἑτοίμως ἁπάντων τευξομένων. Ἴδιον δὲ φασὶ καὶ τοῦτο παρ' αὐτοῖς εἶναι· αἱ γυναῖκες ἅμα ἐργαζόμεναι τίκτουσιν, καὶ τὸ παιδίον ὕδατι περικλύσασαι, παραχρῆμα σκάπτουσι καὶ σκάλλουσι, καὶ τἄλλα οἰκονομοῦσιν ἃ μὴ τικτούσαις ἦν πρακτέον. Θαῦμα δὲ καὶ τοῦτο παρὰ τοῖς Λίγυσι· φασὶ γὰρ παρ' αὐτοῖς ποταμὸν εἶναι, οὗ τὸ ῥεῦμα αἴρεται μετέωρον καὶ ῥεῖ, ὥστε τοὺς πέραν μὴ ὁρᾶσθαι. Ἐν δὲ τῇ Τυρρηνίᾳ λέγεταί τις νῆσος Θάλεια ὀνομαζομένη, ἐν ᾗ ἐκ τοῦ αὐτοῦ μετάλλου πρότερον μὲν χαλκὸς ὠρύσσετο, ἐξ οὗ φασι πάντα κεχαλκευμένα παρ' αὐτοῖς εἶναι, ἔπειτα μηκέτι εὑρίσκεσθαι· χρόνου δὲ διελθόντος πολλοῦ, φανῆναι ἐκ τοῦ αὐτοῦ μετάλλου σίδηρον, ᾧ νῦν ἔτι χρῶνται Τυρρηνοὶ, τὸ καλούμενον Πωταίνιον οἰκοῦντες. Ἔστι δέ τις ἐν Τυρρηνίᾳ πόλις Οἰναρέα καλουμένη, ἣν καθ' ὑπερβολὴν φασὶν ὀχυρὰν εἶναι. ἐν γὰρ μέσῃ αὐτῇ λόφος ἐστὶν ὑψηλὸς, τριάκοντα σταδίους ἀνέχων ἄνω, καὶ ὕλην παντοδαπὴν καὶ ὕδατα. φοβουμένους οὖν τοὺς ἐνοικοῦντας λέγουσι, μή τις τύραννος γένηται, προΐστασθαι αὐτῶν τοὺς ἐκ τῶν οἰκετῶν ἠλευθερωμένους· καὶ οὗτοι ἄρχουσιν αὐτῶν. κατ' ἐνιαυτὸν δ' ἄλλους ἀντικαθίστανται τοιούτους. Ἐν τῇ Κύμῃ τῇ περὶ τὴν Ἰταλίαν δείκνυταί τις, ὡς ἔοικε, θάλαμος κατάγειος Σιβύλλης τῆς χρησμολόγου, ἣν

πολυχρονιωτάτην γενομένην, παρθένον διαμεῖναί φασιν, οὖσαν μὲν Ἐρυθραίαν, ὑπὸ τινῶν δὲ τὴν Ἰταλίαν κατοικούντων, Κυμαίαν, ὑπὸ δέ τινων Μελάγχραιναν καλουμένην. τοῦτον δὲ τὸν τόπον λέγεται κυριεύεσθαι ὑπὸ Λευκαδίων. εἶναι γὰρ λέγουσι ἐν ἐκείνοις τοῖς τόποις περὶ τὸν Κύμην ποταμόν τινα Κετὸν ὀνομαζόμενον, εἰς ὃν φασι τὸ ἐμβληθὲν πρότερόν τι περιφύεσθαι, καὶ τέλος ἀπολιθοῦσθαι. Ἀλκισθένει τῷ Σιβαρίτῃ φασὶ κατασκευασθῆναι ἱμάτιον τοιοῦτον τῇ πολυτελείᾳ, ὥστε προτίθεσθαι αὐτὸ ἐπὶ τῇ ἐν Λακινίῳ πανηγύρει τῆς Ἥρας, εἰς ἣν συμπορεύονται πάντες Ἰταλιῶται, τῶν τε δεικνυμένων μάλιστα πάντων ἐκεῖνο θαυμάζεσθαι. οὗ φασι κυριεύσαντα Διονύσιον τὸν πρεσβύτερον ἀποδόσθαι Καρχηδονίοις ἑκατὸν καὶ εἴκοσι ταλάντων. ἦν δ' αὐτὸ μὲν ἁλουργές, τῷ μεγέθει πεντεκαιδεκάπηχυ, ἑκατέρωθεν δὲ διείληπτο ζωδίοις ἐνυφασμένοις, ἄνωθεν μὲν Σούσοις, κάτωθεν δὲ Πέρσαις· ἀνὰ μέσον δὲ ἦν Ζεύς, Ἥρα, Θέμις, Ἀθηνᾶ, Ἀπόλλων, Ἀφροδίτη· παρὰ δὲ ἑκάτερον πέρας Ἀντισθένης ἦν, ἑκατέρωθεν δὲ Σύβαρις. Περὶ τὴν ἄκραν τὴν Ἰαπυγίαν φασὶν ἔκ τινος τόπου, ἐν ᾧ συνέβη γενέσθαι, ὡς μυθολογοῦσι, Ἡρακλεῖ πρὸς γίγαντας μάχην, ῥεῖν ἰχῶρα πολύν, καὶ τοιοῦτον ὥστε διὰ τὸ βάρος τῆς ὀσμῆς ἄπλουν εἶναι τὴν κατὰ τὸν τόπον θάλασσαν. λέγουσι δέ, πολλαχοῦ τῆς Ἰταλίας Ἡρακλέους εἶναι πολλὰ μνημόσυνα, ἐν ταῖς ὁδοῖς ἃς ἐκεῖνος ἐπορεύθη. περὶ Πανδοσίαν τῆς Ἰαπυγίας ἴχνη τοῦ θεοῦ δείκνυται, ἐφ' ἃ οὐδενὶ ἐπιβατέον. Ἔστι καὶ περὶ ἄκραν Ἰαπυγίαν λίθος ἁμαξιαῖος, ὃν ὑπ' ἐκείνου ἀρθέντα μετατεθῆναί φασιν, ἀφ' ἑνὸς δὲ δακτύλου κινεῖσθαι συμβέβηκεν. Ἐν τῇ τῶν Ὀρχομενίων πόλει τῇ ἐν Βοιωτίᾳ φανῆναί φασιν ἀλώπεκα, ἣν κυνὸς διώκοντος εἰσδῦναι εἴς τι ὑπόνομον, καὶ τὸν κύνα συνεισδῦναι αὐτῇ, καὶ ὑλακτοῦντα ἦχον μέγαν ποιεῖν, ὥσπερεὶ εὐρυχωρίας τινὸς ὑπαρχούσης αὐτοῖς· τοὺς δὲ κυνη-

γάτας ἔννοιαν λαβόντας δαιμονίαν, ἀναρρήξαντας τὴν εἴσδυσιν, συνῶσαι καὶ αὐτούς. ἰδόντας δὲ διά τινων ὀπῶν εἰσερχόμενον ἔσω φῶς, ἀσυνόπτως τὰ λοιπὰ διασώσασθαι, καὶ ἐξελθόντας ἀπαγγεῖλαι τοῖς ἄρχουσιν.

Ἐν τῇ Σαρδοῖ τῇ νήσῳ κατασκευάσματά φασιν εἶναι εἰς τὸν ἑλληνικὸν τρόπον διακείμενα τῶν ἀρχαίων, ἄλλα τε πολλὰ καὶ καλά, καὶ θόλους περιττοῖς τοῖς ῥυθμοῖς κατεξεσμένους. τούτους δὲ ὑπὸ Ἰολάου τοῦ Ἰφικλέους κατασκευασθῆναι, ὅτε τοὺς Θεσπιάδας τοὺς ἐξ Ἡρακλέους παραλαβὼν ἔπλευσεν εἰς ἐκείνους τοὺς τόπους ἐποικήσων, ὡς κατὰ συγγένειαν αὐτῷ τὴν Ἡρακλέους προσήκοντας, διὰ τὸ πάσης τῆς πρὸς ἑσπέραν κύριον Ἡρακλέα γενέσθαι. αὕτη δὲ ἡ νῆσος, ὡς ἔοικεν, ἐκαλεῖτο μὲν πρότερον Ἰχνοῦσα, διὰ τὸ ἐσχηματίσθαι τῇ περιμέτρῳ ὁμοιότατα ἀνθρώπου ἴχνει· εὐδαίμων δὲ καὶ πάμφορος ἔμπροσθεν λέγεται εἶναι. τὸν γὰρ Ἀρισταῖον, ὅν φασι γεωργικώτατον εἶναι ἐπὶ τῶν ἀρχαίων, τοῦτον αὐτῆς ἄρξασθαι μυθολογοῦσιν, ὑπὸ μεγάλων ὀρνέων ἔμπροσθεν καὶ πολλῶν κατεχομένων. νῦν μὲν οὖν οὐκέτι φέρει τοιοῦτον οὐδέν, διὰ τὸ κυριευθεῖσαν ὑπὸ Καρχηδονίων ἐκκοπῆναι πάντας τοὺς χρησίμους εἰς προσφορὰν καρπούς, καὶ θάνατον τὴν ζημίαν τοῖς ἐγχωρίοις τετάχθαι, ἐάν τις τῶν τοιούτων τι ἀναφυτεύῃ.

Ἐν μιᾷ τῶν ἑπτὰ νήσων τῶν Αἰόλου καλουμένων, ἣ καλεῖται Λιπάρα, τάφον εἶναι μυθολογοῦσι, περὶ οὗ καὶ ἄλλα μὲν πολλὰ καὶ τερατώδη λέγουσι· τοῦτο δέ, ὅτι οὐκ ἀσφαλές ἐστι προσελθεῖν πρὸς ἐκεῖνον τὸν τόπον τῆς νυκτός, συμφωνοῦσιν. ἐξακούεσθαι γὰρ τυμπάνων καὶ κυμβάλων ἦχον, γέλωτά τε μετὰ θορύβου καὶ κροτάλων ἐναργῶς. λέγουσι δέ τι τερατωδέστερον γεγονέναι περὶ τὸ σπήλαιον. πρὸ ἡμέρας γάρ τινα ἐγκοιμηθῆναι ἐν αὐτῷ οἰνωμένον, καὶ τοῦτον ὑπὸ τῶν οἰκετῶν ζητούμενον ἐφ' ἡμέρας τρεῖς διατελέσαι, τῇ δὲ τετάρτῃ εὑρεθέντα ὡς νεκρὸν ἀποκομισθῆναι ὑπὸ τῶν οἰκείων εἰς τὸν ἴδιον τάφον, καὶ τῶν νομιζομένων τυ-

χόντα πάντων, ἐξαίφνης ἀναστῆναι, καὶ διηγεῖσθαι τὰ καθ' ἑαυτὸν συμβεβηκότα. ὅτι μὲν οὖν ἡμῖν φαίνεται μυθωδέστερον· ὅμως μέντοι ἔδει μὴ παραλιπεῖν ἀμνημόνευτον αὐτό, τὴν περὶ τῶν τόπων ἐκείνων ἀναγραφὴν ποιουμένους. Περὶ τὴν Κύμην τὴν περὶ Ἰταλίαν λίμνη ἐστὶν ἡ προσαγορευομένη Ἄορνος· αὕτη μέν, ὡς ἔοικεν, οὐκ ἔχουσά τι θαυμαστόν· περικεῖσθαι γὰρ λέγουσι περὶ αὐτὴν λόφους κύκλῳ, τὸ ὕψος οὐκ ἔλαττον τριῶν σταδίων, καὶ αὐτὴν εἶναι τῷ σχήματι κυκλοτερῆ, τὸ βάθος ἔχουσαν ἀνυπέρβλητον· ἐκεῖνο δὲ θαυμάσιον φαίνεται. ὑπερκειμένων γὰρ αὐτῇ πυκνῶν δένδρων, καί τινων ἐν αὐτῇ κατακεκλιμένων, οὐδὲν ἐστὶν ἰδεῖν ἐπὶ τοῦ ὕδατος φύλλον ἑστηκός, ἀλλ' οὕτως καθαρώτατόν ἐστι τὸ ὕδωρ, ὥστε τοὺς θεωμένους θαυμάζειν. Περὶ δὲ τὴν ἀπέχουσαν ἤπειρον αὐτῆς οὐ πολύ, θερμὸν ὕδωρ πολλαχόθεν ἐκπίπτει, καὶ ὁ τόπος ἅπας καλεῖται Πυριφλεγέθων. ὅτι δὲ οὐδὲν διίπταται ὄρνεον ἐν αὐτῇ, ψεῦδος· οἱ γὰρ παραγενόμενοι λέγουσι κύκνων πλῆθός τι ἐν αὐτῇ γίνεσθαι. Φασὶ τὰς Σειρηνούσας νήσους κεῖσθαι μὲν ἐν τῇ Ἰταλίᾳ περὶ τὸν πορθμὸν ἐπ' αὐτῆς τῆς ἄκρας, ὃς κεῖται πρὸ τοῦ προπεπτωκότος τόπου, καὶ διαχωρίζοντος τοὺς κόλπους, τόν τε περιέχοντα τὴν Κύμην, καὶ τὸν διειληφότα τὴν καλουμένην Ποσειδωνίαν, ἐν ᾧ καὶ νεὼς αὐτῶν ἵδρυται, καὶ τιμῶνται καθ' ὑπερβολὴν ὑπὸ τῶν περιοίκων θυσίαις ἐπιμελῶς· ὧν καὶ τὰ ὀνόματα μνημονεύοντες, καλοῦσι τὴν μὲν, Παρθενόπην, τὴν δέ, Λευκωσίαν, τὴν δὲ τρίτην, Λίγειαν.

Λέγεται δὲ μεταξὺ τῆς Μεντορικῆς καὶ Ἰστριανῆς ὄρος τι εἶναι τὸ καλούμενον Δέλφιον, ἔχον λόφον ὑψηλόν· ἐπὶ τοῦτον τὸν λόφον ὅταν ἀναβαίνωσιν οἱ Μέντορες οἱ ἐπὶ τοῦ Ἀδρίου οἰκοῦντες, ἀποθεωροῦσι τὰ εἰς τὸν πόντον εἰσπλέοντα πλοῖα. εἶναι δέ τινα καὶ τόπον ἐν τοῖς ἀνὰ μέσον διαστήμασιν, εἰς ὃν ἀγορᾶς κοινῆς γινομένης, πωλεῖσθαι παρὰ μὲν τῶν ἐκ τοῦ πόντου ἐμ-

πόρων ἀναβαινόντων τὰ Λέσβια καὶ Χῖα καὶ Θάσια· περὶ δὲ τῶν ἐκ τοῦ Ἀδρίου, τοὺς Κερκυραϊκοὺς ἀμφορεῖς. Φασὶ δὲ καὶ τὸν Ἴστρον ῥέοντα ἐκ τῶν Ἑρκυνίων καλουμένων δρυμῶν, σχίζεσθαι, καὶ τῇ μὲν εἰς τὸν πόντον ῥεῖν, τῇ δὲ εἰς τὸν Ἀδρίαν. σημεῖον δὲ κἀκεῖνο, οὐ μόνον ἐν τοῖς νῦν καιροῖς ἑωράκαμεν, ἀλλὰ καὶ ἐπὶ τῶν παλαιῶν μᾶλλον, οἷς τὰ ἐκεῖ ἄπλωτα εἶναι· καὶ γὰρ Ἰάσονα τὸν μὲν εἴσπλουν κατὰ τὰς Κυανέας, τὸν δὲ ἐκ τοῦ πόντου ἔκπλουν κατὰ τὸν Ἴστρον ποιήσασθαί φασι· καὶ φέρουσιν ἄλλα τε τεκμήρια οὐκ ὀλίγα, καὶ κατὰ μὲν τὴν χώραν βωμοὺς ὑπὸ Ἰάσονος ἀνακειμένους δεικνύουσιν, ἐν δὲ μιᾷ τῶν ἐν τῷ Ἀδρίᾳ νήσων πολυτελὲς ἱερὸν Ἀρτέμιδος ὑπὸ Μηδείας ἱδρυμένον. ἔτι δὲ λέγουσιν ὡς οὐκ ἂν παρέπλευσε τὰς Πλαγκτὰς καλουμένας, εἰ μὴ ἐκεῖθεν ἀπέπλει. καὶ ἐν τῇ Αἰγιαλίᾳ δὲ νήσῳ τῇ κειμένῃ ἐπὶ τῷ Τυῤῥηνικῷ πελάγει, ἄλλα τε δεικνύουσι μνημεῖα τῶν ἀριστέων, καὶ τὸ ἐπὶ τῶν ψήφων δὲ λεγόμενον. παρὰ γὰρ τὸν αἰγιαλὸν ψήφους φασὶν εἶναι ποικίλας. ταύτας δὲ οἱ Ἕλληνες οἱ τὴν νῆσον οἰκοῦντες, λέγουσι τὴν χροιὰν λαβεῖν ἀπὸ τῶν στλεγγισμάτων ὧν ἐποιοῦντο ἀλειφόμενοι. ἀπὸ γὰρ ἐκείνων τῶν χρόνων, οὔτε πρότερον ἑωρᾶσθαι μυθολογοῦσι τοιαύτας ψήφους, οὔθ' ὕστερον ἔτι γενομένας. ἔτι δὲ τούτων φανερώτερα σημεῖα λέγουσιν, ὅτι οὐ διὰ τῶν Συμπληγάδων ἐγένετο ὁ ἔκπλους αὐτοῖς, τῷ ποιητῇ οἱ ἐν ἐκείνοις τοῖς τόποις μάρτυρι χρώμενοι. τὴν γὰρ δυσχέρειαν τοῦ κινδύνου ἐμφανίζοντα, λέγειν ὅτι οὐκ ἔστι παραπλεῦσαι τὸν τόπον,

Ἀλλά θ' ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν
Κύμαθ' ἁλὸς φορέουσι, πυρός τ' ὀλοοῖο θύελλαι.

περὶ μὲν οὖν τὰς Κυανέας οὐ λέγεται πῦρ ἀναπέμπειν· περὶ δὲ τὸν πορθμὸν τὸν διαλαμβάνοντα τὴν Σικελίαν, ἐφ' ἑκάτερα κειμένων τῶν τε πυρὸς ἀναφυσημάτων, καὶ τῆς τε νήσου συνεχῶς καιομένης, καὶ τοῦ περὶ τὴν Αἴτνην ῥεύματος πολλάκις

τὴν χώραν ἐπιδεδραμηκότος. Ἐν Τάραντι ἐναγίζειν κατά τινας χρόνους φασὶν Ἀτρείδαις καὶ Τυδείδαις καὶ Αἰακίδαις καὶ Λαερτιάδαις· καὶ Ἀγαμεμνονίδαις δὲ χωρὶς θυσίαν ἐπιτελεῖν ἐν ἄλλῃ ἡμέρᾳ ἰδίᾳ· ἐν ᾗ νόμιμον εἶναι ταῖς γυναιξὶ, μὴ γεύσασθαι τῶν ἐκείνοις θυομένων. ἔστι δὲ καὶ Ἀχιλλέως νεὼς παρ' αὐτοῖς. λέγεται δὲ, μετὰ τὸ παραλαβεῖν τοὺς Ταραντίνους Ἡράκλειαν τὸν τόπον καλεῖσθαι ὃν νῦν κατοικοῦσιν, ἐν δὲ τοῖς ἄνω χρόνοις τῶν Ἰώνων κατεχόντων πλεῖον. ἔτι δὲ ἐκείνων ἔμπροσθεν ὑπὸ τῶν πρότερον κατεχόντων αὐτὴν, Σίγεον ὠνομάσθαι. Παρὰ δὲ τοῖς Συβαρίταις λέγεται Φιλοκτήτην τιμᾶσθαι. κατοικῆσαι γὰρ αὐτὸν ἐκ Τροίας ἀνακομισθέντα τὰ καλούμενα μαλακὰ τῆς Κροτωνιάδος, ἅ φασιν ἀπέχειν ἑκατὸν εἴκοσι σταδίων, καὶ ἀναθεῖναι ἱστοροῦσι τὰ τόξα Ἡράκλεια αὐτὸν εἰς τὸ τοῦ Ἀπόλλωνος τοῦ ἁλίου. ἐκεῖθεν δέ φασι τοὺς Κροτωνιάτας κατὰ τὴν ἐπικράτειαν ἀναθεῖναι αὐτὰ εἰς τὸ Ἀπολλώνιον τὸ παρ' αὐτοῖς. λέγεται δὲ καὶ τελευτήσαντα ἐκεῖ κεῖσθαι αὐτὸν παρὰ τὸν ποταμὸν τὸν Σύβαριν, βοηθήσαντα Ῥοδίοις τοῖς μετὰ Τληπολέμου εἰς τοὺς ἐκεῖ τόπους ἀπενεχθεῖσι, καὶ μάχην συνάψασι πρὸς τοὺς ἐνοικοῦντας τῶν βαρβάρων ἐκείνην τὴν χώραν. Περὶ δὲ τὴν Ἰταλίαν τὴν καλουμένην Καλαβρίαν, ἐγγὺς Μεταποντίου, Ἀθηνᾶς ἱερὸν εἶναί φασιν Ἑλληνίας, ἔνθα τὰ τοῦ Ἐπειοῦ λέγουσιν ὄργανα ἀνακεῖσθαι, ἃ εἰς τὸν δούρειον ἵππον ἐποίησεν, ἐκείνου τὴν ἐπωνυμίαν ἐπιθέντος. φανταζομένην γὰρ αὐτῷ τὴν Ἀθηνᾶν κατὰ τὸν ὕπνον ἀξιοῦν ἀναθεῖναι τὰ ὄργανα, καὶ διὰ τοῦτο βραδυτέρας τυγχάνοντα τῆς ἀναγωγῆς, εἱλεῖσθαι ἐν τῷ τόπῳ, μὴ δυνάμενον ἐκπλεῦσαι· ὅθεν Ἑλληνίας Ἀθηνᾶς τὸ ἱερὸν προσαγορεύεται. Λέγεται δὲ περὶ τὸν ὀνομαζόμενον τῆς Δαυνίας τόπον, ἱερὸν εἶναι Ἀθηνᾶς Ἀχαΐας καλούμενον, ἐν ᾧ δὴ καὶ πελέ-

κεις χαλκοῦς καὶ ὅπλα τῶν Διομήδους ἑταίρων καὶ αὐτοῦ ἀνακεῖσθαι. ἐν τούτῳ τῷ τόπῳ φασὶν εἶναι κύνας οἳ τοὺς ἀφικνουμένους τῶν Ἑλλήνων οὐκ ἀδικοῦσιν, ἀλλὰ σαίνουσιν ὥσπερ τοὺς συνηθεστάτους. πάντες δὲ οἱ Δαύνιοι καὶ οἱ πλησιόχωροι αὐτοῖς μελανειμονοῦσι καὶ ἄνδρες καὶ γυναῖκες, διὰ ταύτην, ὡς ἔοικε, τὴν αἰτίαν. τὰς γὰρ Τρῳάδας τὰς ληφθείσας αἰχμαλώτους, καὶ εἰς ἐκείνους τοὺς τόπους ἀφικομένας, εὐλαβηθείσας μὴ πικρᾶς δουλείας τύχωσιν ὑπὸ τῶν ἐν ταῖς πατρίσι προϋπαρχουσῶν τοῖς Ἀχαιοῖς γυναικῶν, λέγεται τὰς ναῦς αὐτῶν ἐμπρῆσαι, ἵν' ἅμα μὲν τὴν προσδοκωμένην δουλείαν ἐκφύγωσιν, ἅμα δ' ὅπως μετ' ἐκείνων μένειν ἀναγκασθέντων, συναρμοσθεῖσαι κατάσχωσιν αὐτοὺς ἄνδρας. πάνυ δὲ καὶ τῷ ποιητῇ καλῶς πέφρασται περὶ αὐτῶν. ἑλκεσιπέπλους γὰρ καὶ βαθυκόλπους ἐκείνας, ὡς ἔοικεν, ἰδεῖν ἐστιν. Ἐν δὲ τοῖς Πευκετίνοις εἶναί φασιν Ἀρτέμιδος ἱερόν, ἐν ᾧ τὴν διωνομασμένην ἐν ἐκείνοις τοῖς τόποις χαλκῆν ἕλικα ἀνακεῖσθαι λέγουσιν, ἔχουσαν ἐπίγραμμα, Διομήδης Ἀρτέμιδι. μυθολογεῖται δὲ ἐκεῖνον ἐλάφῳ περὶ τὸν τράχηλον περιθεῖναι, τὴν δὲ περιφῦναι· καὶ τοῦτον τὸν τρόπον εὑρισκομένην ὑπὸ Ἀγαθοκλέους ὕστερον τοῦ βασιλέως Σικελιωτῶν εἰς τὸ τοῦ Διὸς ἱερὸν ἀνατεθῆναί φασιν. Ἐν τῇ ἄκρᾳ τῆς Σικελίας τῇ καλουμένῃ Πελωριάδι, τοσοῦτον γίνεσθαι κρόκον, ὥστε παρὰ πᾶσι μὲν τῶν ἐν ἐκείνοις τοῖς τόποις κατοικούντων Ἑλλήνων, μὴ γνωρίζεσθαι ποῖόν τι ἐστὶ τὸ ἄνθος· ἐπὶ δὲ τῆς Πελωριάδος ἁμάξας κατακομίζειν μεγάλας τοὺς βουλομένους, καὶ κατὰ τὴν ἐαρινὴν ὥραν τὰς στρωμνὰς καὶ τὰς σκηνὰς ἐκ κρόκου κατασκευάζειν. Φησὶν εἶναι ὁ Πολύκριτος ὁ τὰ Σικελικὰ γεγραφὼς ἐν ἔπεσιν, ἔν τινι τόπῳ τῆς μεσογείου λιμνίον τι ἔχον ὅσον ἀσπίδος τὸ περίμετρον· τοῦτο δ' ἔχειν ὕδωρ διαυγὲς μὲν, μικρῷ δὲ θολερώτερον. εἰς τοῦτ' οὖν ἐάν τις εἰσβῇ,

λούσασθαι χρείαν ἔχον, αὔξεσθαι εἰς ὕψος· ἐὰν δὲ καὶ δεύτερον, μᾶλλον πλατύνεσθαι. τὸ δὲ πέρας ἕως εἰς πεντήκοντα ἀνδρῶν ὑποδοχὴν μεῖζον γινόμενον διευρύνεσθαι. ἐπειδὰν δὲ τοῦτον τὸν ἀριθμὸν λάβῃ, ἐκ βάθους πάλιν ἀνοιδοῦν, ἐκβάλλειν μετέωρα τὰ σώματα τῶν λουομένων ἔξω ἐπὶ τὸ ἔδαφος. ὡς δ᾽ ἂν τοῦτο γένηται, εἰς τὸ ἀρχαῖον πάλιν σχῆμα τῆς περιμέτρου καθίστασθαι. οὐ μόνον δὲ ἐπὶ ἀνθρώπων τοῦτο περὶ αὐτὸ γίνεσθαι, ἀλλὰ καὶ ἐάν τι τετράπουν εἰσβῇ, τὸ αὐτὸ πάσχειν. Ἐν δὲ τῇ ἐπικρατείᾳ τῶν Καρχηδονίων φασὶν ὄρος εἶναι ὃ καλεῖται Γώνιον, παντοδαπῆς μὲν ὕλης γέμον, πολλοῖς δὲ διαπεποικιλμένον ἄνθεσιν, ὥστε τοὺς συνεχεῖς τόπους ἐπιπολὺ μεταλαμβάνοντας τῆς εὐωδίας αὐτοῦ, ἡδίστην τινὰ τοῖς ὁδοιποροῦσι προσβάλλειν τὴν ἀναπνοήν. πρὸς δὴ τοῦτον τὸν τόπον κρήνην ἐλαίου φασὶν εἶναι, τὴν δὲ ὀσμὴν ἔχειν τοῦ κέδρου τοῖς ἀποπρίσμασιν ὁμοίαν. δεῖν δέ φασι τὸν προσιόντα πρὸς αὐτὴν ἁγνεύειν, καὶ τούτου γινομένου, πλεῖον ἀναβλύζειν αὐτὴν τὸ ἔλαιον, ὥστε ἀσφαλῶς ἀρύεσθαι. Φασὶ καὶ ταύτης τῆς κρήνης πλησίον εἶναί τινα πέτραν αὐτοφυᾶ, μεγάλην τῷ μεγέθει. ταύτης οὖν λέγουσιν, ἐπειδὰν μὲν ᾖ θέρος, φλόγα ἀναπίπτειν πυρός, χειμῶνος δὲ γινομένου, ἐκ τοῦ αὐτοῦ τόπου κρουνὸν ὕδατος ἀναῤῥαίνειν, οὕτω ψυχρὸν ὥστε χιόνι συμβαλλόμενον, μηδὲν διαφέρειν. καὶ τοῦτο φασιν οὐκ ἀπόκρυφον οὐδὲ μικρὸν χρόνον φαίνεσθαι, ἀλλὰ τὸ μὲν πῦρ ἀνιέναι τὴν θερείαν ὅλην, τὸ δὲ ὕδωρ πάντα τὸν χειμῶνα. λέγεται δὲ καὶ περὶ τὴν τῶν Σκυθῶν καὶ Μεδῶν χώραν καλουμένην τῆς Θρᾴκης, ποταμόν τινα εἶναι Πόντον προσονομαζόμενον, ἐν ᾧ καταφέρεσθαί τινας λίθους οἳ καίονται, καὶ τοὐναντίον πάσχουσι τοῖς ἐκ τῶν ξύλων ἄνθραξι· ῥιπιζόμενοι γὰρ, σβέννυνται ταχέως, ὕδασι δὲ ῥαινόμενοι, ἀναλάμπουσι καὶ ἀνάπτουσι κάλλιον· παραπλησίαν δὲ ἀσφάλτῳ, ὅταν

καίωνται, καὶ πονηρὰ ὀσμὴ οὕτω καὶ δριμεῖαν ἔχουσιν, ὥστε μηδὲν τῶν ἑρπετῶν ὑπομένειν ἐν τῷ τόπῳ καθ' ὧν αὐτῶν. Εἶναι δέ φασι καί τόπον τινὰ παρ' αὐτοῖς οὐ λίαν μικρόν, ἀλλ' ὡς αἱ εἴκοσί που σταδίων, ὃς φέρει κριθάς, αἷς οἱ μὲν ἄνθρωποι χρῶνται, οἱ δ' ἵπποι καὶ βόες οὐκ ἐθέλουσι ταύτας ἐσθίειν, οὐδ' ἄλλο οὐδέν. ἀλλ' οὐδὲ τῶν ὑῶν οὐδὲ τῶν κυνῶν οὐδεμία τολμᾷ γεύσασθαι τῆς κόπρου τῶν ἀνθρώπων, οἵτινες ἂν ἐκ τῶν κριθῶν τούτων μάζαν φαγόντες ἢ ἄρτον, ἀφοδεύσωσι τῷ θνήσκειν. Ἐν δὲ Σκοτούσσῃ τῆς Θετταλίας φασὶν εἶναι κρηνίδιόν τι μικρόν, ἐξ οὗ καὶ ῥεῖ τοιοῦτον ὕδωρ, ὃ τὰ μὲν ἕλκη καὶ θλάσματα ταχέως ὑγιεινὰ ποιεῖ καὶ τῶν ἀνθρώπων καὶ τῶν ὑποζυγίων· ἐὰν δέ τις ξύλον μὴ παντάπασι συντρίψας, ἀλλὰ σχίσας ἐμβάλῃ, συμφύεται, καὶ πάλιν εἰς τὸ αὐτὸ καθίσταται. Περὶ δὲ τὴν Θρᾴκην τὴν ὑπὲρ Ἀμφιπόλεως φασὶ γίνεσθαί τι τερατῶδες καὶ ἄπιστον τοῖς μὴ τεθεαμένοις· ἐξιόντες γὰρ οἱ παῖδες ἐκ τῶν κωμῶν καὶ τῶν ἐγγὺς χωρίων ἐπὶ θήραν τῶν ὀρνιθαρίων, συνθηρεύειν παραλαμβάνουσι τοὺς ἱέρακας· τοῦτο ποιοῦσιν οὕτως· ἐπειδὰν προσέλθωσιν εἰς τόπον ἐπιτήδειον, καλοῦσι τοὺς ἱέρακας ὀνομαστὶ κεκραγότες· οἱ δ' ὅταν ἀκούσωσι τῶν παίδων τὴν φωνήν, παραγινόμενοι παρασοβοῦσιν εἰς τοὺς θάμνους, ὅπου αὐτοὺς οἱ παῖδες ξύλοις τύπτοντες λαμβάνουσιν. ὃ δὲ πάντων ἄν τις μάλιστα θαυμάσειεν. οἱ μὲν γὰρ ἱέρακες, ὅταν αὐτοί τινα λάβωσι τῶν ὀρνίθων, καταβάλλουσι τοῖς θηρεύουσιν· οἱ δὲ παῖδες ἁπάντων τῶν ἁλόντων μέρος τι τοῖς ἱέραξιν ἀποδόντες, ἀπέρχονται. Θαυμαστὸν δέ τι καὶ παρὰ τοῖς Ἐνετοῖς φασι γίνεσθαι. ἐπὶ γὰρ τὴν χώραν αὐτῶν πολλάκις κολοιῶν ἀναριθμήτους μυριάδας ἐπιφέρεσθαι, καὶ τὸν σῖτον αὐτῶν σπειράντων καταναλίσκειν· οἷς τοὺς Ἐνετοὺς πρὸ τοῦ ἐφίπτασθαι μέλλειν, ἐπὶ τὰ μεθόρια τῆς γῆς προτι-

θεῖναι δῶρα παντοδαπῶν καρπῶν, καταβάλλοντας σπέρματα. ὧν ἐὰν μὲν γεύσωνται κολοιοί, οὐχ ὑπερβαίνουσιν ἐπὶ τὴν χώραν αὐτῶν, καὶ οἴδασιν οἱ Ενετοὶ ὅτι ἔσονται ἐν εἰρήνῃ· ἐὰν δὲ μὴ γεύσωνται, ὡσεὶ πολεμίων ἔφοδον αὐτοῖς γινομένην οὕτω προσδοκῶσιν. Εν δὲ τῇ Χαλκίδι τῇ ἐπὶ Θρᾴκης πλησίον Ολύνθου, φασὶν εἶναι Κανθαρώλεθρον ὀνομαζόμενον τόπον, μικρῷ μεῖζον τὸ μέγεθος ἅλω, εἰς ὃν τῶν μὲν ἄλλων ζώων ὅταν τι ἀφίκηται, πάλιν ἀπέρχεται· τῶν δὲ κανθάρων τῶν ἐλθόντων οὐδείς, ἀλλὰ κύκλῳ περιϊόντες τὸ χωρίον, λιμῷ τελευτῶσιν. Εν δὲ Κύκλωψι τοῖς Θρᾳξί, κρηνίδιόν ἐστιν ὕδωρ ἔχον, ὃ τῇ μὲν ὄψει καθαρὸν καὶ διαφανές, καὶ τοῖς ἄλλοις ὅμοιον· ὅταν δὲ πίῃ τι ζῶον ἐξ αὐτοῦ, παραχρῆμα διαφθείρεται. Φασὶ δὲ καὶ ἐν τῇ Κραστωνίᾳ παρὰ τὴν Βισαλτῶν χώραν τοὺς ἁλισκομένους λαγὼς δύο ἥπατα ἔχειν, καὶ τόπον τινὰ εἶναι ὅσον πλεθριαῖον, εἰς ὃν ὅ,τι ἂν εἰσέλθῃ ζῶον, ἀποθνήσκειν. Εστι δὲ καὶ ἄλλο αὐτόθι ἱερὸν Διονύσου μέγα καὶ καλόν, ἐν ᾧ τῆς ἑορτῆς καὶ τῆς θυσίας οὔσης, λέγεται, ὅταν μὲν ὁ θεὸς εὐετηρίαν μέλλῃ ποιεῖν, ἐπιφαίνεσθαι μέγα σέλας πυρός, καὶ τοῦτο πάντας ὁρᾶν τοὺς περὶ τὸ τέμενος διατρίβοντας· ὅταν δ' ἀκαρπίαν, μὴ φαίνεσθαι τοῦτο τὸ φῶς, ἀλλὰ σκότος ἐπέχειν τὸν τόπον ὡς καὶ τὰς ἄλλας νύκτας. Εν Ηλιδι λέγουσιν εἶναί τι οἴκημα σταδίους ἀπέχον ὀκτὼ μάλιστα τῆς πόλεως, εἰς ὃ τιθέασι τοῖς Διονυσίοις λέβητας χαλκοῦς τρεῖς κενούς. τοῦτο δὲ ποιήσαντες, παρακαλοῦσι τῶν Ἑλλήνων τῶν ἐπιδημούντων τὸν βουλόμενον ἐξετάσαι τὰ ἀγγεῖα, καὶ τοῦ οἴκου κατασφραγίζεσθαι τὰς θύρας. καὶ ἐπειδὰν μέλλωσιν ἀνοίγειν, ἐπιδείξαντες τοῖς πολίταις καὶ τοῖς ξένοις τὰς σφραγῖδας, οὕτως ἀνοίγουσιν. οἱ δ' εἰσελθόντες, εὑρίσκουσι τοὺς μὲν λέβητας, οἴνου πλήρεις, τὸ δὲ ἔδαφος καὶ τοὺς τοίχους, ὑγιεῖς, ὥστε μηδεμίαν ὑποψίαν εἶναι λαβεῖν ὡς τέχνῃ τινὶ κατασκευάζουσιν. Εἶναι δὲ

φασὶ παρ' αὐτοῖς καὶ ἰκτίνοις, οἳ περὶ μὲν τὴν διὰ τῆς ἀγορᾶς τὰ κρέα φερόντων ἁρπάζουσι, τῶν δὲ ἱεροθύτων οὐχ ἅπτονται. Ἐν Κορωνείᾳ δὲ τῆς Βοιωτίας λέγεται τοὺς ἀσπάλακας τὰ ζῶα μὴ δύνασθαι ζῆν, μηδ' ὀρύσσειν τὴν γῆν, τῆς λοιπῆς Βοιωτίας πολὺ πλῆθος ἐχούσης. Ἐν Κολούσοις δὲ τῆς Ἀρκαδίας, κρήνην εἶναί τινα φασιν, ἐν ᾗ χερσαῖοι μῦες γίνονται, καὶ κολυμβῶσι τὴν δίαιταν ἐν ἐκείνῃ ποιούμενοι. λέγεται δὲ αὐτὸ τοῦτο καὶ ἐν Λαμψάκῳ εἶναι. Ἐν δὲ Κρανῶνι τῆς Θετταλίας, φασὶ δύο κόρακας εἶναι μόνους ἐν τῇ πόλει. οὗτοι ὅταν ἐκνεοττεύσωσιν, ἑαυτοὺς μὲν, ὡς ἔοικεν, ἐκτοπίζουσιν, ἑτέρους δὲ τοσούτους τῶν ἐξ αὐτῶν γενομένων ἀπολείπουσιν. Ἐν δὲ τῇ Ἀπολλωνίᾳ τῇ πλησίον κειμένῃ τῆς τῶν Ἀτλαντίνων χώρας φασὶ γίγνεσθαι ἄσφαλτον ὀρυκτὴν καὶ πίσσαν, τὸν αὐτὸν τρόπον ἐκ τῆς γῆς συναναπηδῶσαν τοῖς ὕδασιν, οὐδὲν διαφέρουσαν τῆς Μακεδονικῆς, μελαντέραν δὲ καὶ παχυτέραν πεφυκέναι ἐκείνης. οὐ πόρρω δὲ τούτου τοῦ χωρίου πῦρ ἐστὶ καιόμενον πάντα τὸν χρόνον, ὥς φασιν οἱ κατοικοῦντες περὶ τὴν χώραν ἐκείνην. ὁ δὲ καιόμενος τόπος, ἐστὶν οὐ πολὺς, ὡς ἔοικεν, ἀλλ' ὅσον μάλιστα πεντακλίνου τὸ μέγεθος. ὄζει δὲ θείου καὶ στυπτηρίας, καὶ πέφυκε περὶ αὐτὸν πόα τε βαθεῖα (ὃ καὶ θαυμάσειεν ἄν τις μάλιστα) καὶ δένδρα μεγάλα, οὐκ ἀπέχοντα τοῦ πυρὸς πήχεις τέσσαρας. καίεται δὲ συνεχῶς περὶ Λυκίαν καὶ Μεγάλην πόλιν τὴν ἐν Πελοποννήσῳ. Λέγεται δὲ καὶ ἐν Ἰλλυριοῖς τίκτειν τὰ βοσκήματα δὶς τοῦ ἐνιαυτοῦ, καὶ τὰ πλεῖστα διδυμοτοκεῖν· καὶ πολλὰ δὲ τρεῖς ἢ τέσσαρας ἐρίφους τίκτειν, ἔνια δὲ καὶ πέντε καὶ πλείους. ἔτι δὲ γάλακτος ἀφιέναι ῥᾳδίως τρία ἡμίχοα. λέγουσι δὲ καὶ τὰς ἀλεκτορίδας, οὐχ ὥσπερ παρὰ τοῖς ἄλλοις ἅπαξ τίκτειν, ἀλλὰ δὶς καὶ τρὶς τῆς ἡμέρας. Λέγεται δὲ καὶ ἐν τῇ Παιονίᾳ τοὺς βοῦς τοὺς ἀγρίους πολὺ μεγίστους ἁπάντων τῶν ἐν

τοῖς λοιποῖς ἔθνεσι γίγνεσθαι. περὶ δὲ τοῦ πορθμοῦ τῆς Σικελίας καὶ ἄλλοι μὲν πλείους γεγράφασι, καὶ οὗτος δέ φησι συμβαίνειν τερατῶδες. ἐκ γὰρ τοῦ Τυρρηνικοῦ πελάγους πολλῷ ῥοίζῳ φερόμενον τὸν κλύδωνα, προσβάλλειν πρὸς ἀμφότερα τὰ ἀκρωτήρια, τὸ μὲν τῆς Σικελίας, τὸ δὲ τῆς Ἰταλίας, τὸ προσαγορευόμενον Ῥήγιον, ἐκ μεγάλου πελάγους εἰς στενὸν συγκλείεσθαι· τούτου δὲ γινομένου, κῦμα μετέωρον αἴρειν σὺν πολλῷ βρόμῳ ἐπὶ πάνυ πολὺν τόπον τῆς ἄνω φορᾶς, ὥστε τοῖς μακρὰν ἀπέχουσι, συνοπτὴν εἶναι τὸν μετεωρισμὸν, οὐχ ὅμοιον φαινόμενον θαλάσσης ἀναφορᾷ, λευκὸν δὲ καὶ ἀφρῶδες· παραπλήσιον δὲ τοῖς συρμοῖς τοῖς γινομένοις ἐν τοῖς ἀνυπερβλήτοις χειμῶσι· καὶ ποτὲ μὲν ἀλλήλοις συμπίπτειν ἐπ' ἀμφοτέρων τῶν ἀκρωτηρίων τοὺς κλύδωνας, καὶ ποιεῖν συγκλεισμὸν, ἄπιστον μὲν διηγεῖσθαι, ἀνυπομόνητον δὲ τῇ ὄψει θεάσασθαι· ποτὲ δὲ διϊσταμένους ἐκ τῆς πρὸς ἀλλήλους συρράξεως, οὕτω βαθεῖαν καὶ φρικώδη τὴν ἄποψιν ποιεῖν τοῖς ἐξ ἀνάγκης θεωμένοις, ὥστε πολλοὺς μὲν μὴ κρατεῖν ἑαυτῶν, ἀλλὰ πίπτειν σκοτουμένους ὑπὸ τοῦ δέους· ἐπειδὰν δὲ προσπεσὸν τὸ κῦμα πρὸς ὁποτερονοῦν τῶν τόπων, καὶ μετεωρισθὲν ἕως τῶν ἄκρων, πάλιν εἰς τὴν ὑπορρέουσαν θάλασσαν κατενεχθῇ, τότε δὴ πάλιν σὺν πολλῷ μὲν βρυχηθμῷ, μεγάλαις δὲ καὶ ταχείαις δίναις τὴν θάλασσαν ἀναζεῖν καὶ μετεωρίζεσθαι κυκωμένην ἐκ βυθῶν, παντοδαπὰς δὲ χρόας μεταλλάσσειν. ποτὲ μὲν γὰρ ζοφερὰν, ποτὲ δὲ κυανῆν, πολλάκις δὲ πορφυρίζουσαν διαφαίνεσθαι. τὸν δὲ δρόμον καὶ τὸ μῆκος αὐτῆς, ἔτι δὲ πρὸς τούτοις τὴν ἀνάρροιαν, οὐδὲ ἀκούειν οὐδὲν ἑρπετὸν, οὔθ' ὁρᾶν ὑπομένειν, φεύγειν δὲ πάντα πρὸς τὰς ὑποκειμένας ὑπωρείας. λήγοντος δὲ τοῦ κλύδωνος, τὰς δίνας μετεώρους φέρεσθαι, ποικίλας οὕτως τὰς ἀναφορὰς ποιουμένας, ὥστε δοκεῖν πρηστήρων ἤ τινων ἄλλων μεγάλων ὄφεων ἀπεργά-

μαλι παρομοίους τὰς κινήσεις ἀποτελεῖν. Φασὶν, οἰκοδομούντων Ἀθηναίων τὸ τῆς Δήμητρος ἱερὸν τῆς ἐν Ἐλευσῖνι, περιεχομένην στήλῃ πέτραις εὑρεθῆναι χαλκῆν, ἐφ' ἧς ἐπεγέγραπτο, Δηιόπης τόδε σῆμα Δημήτειος. ἣν οἱ μὲν λέγουσι Μουσαίου εἶναι γυναῖκα, τινὲς δὲ Τριπτολέμου μητέρα γενέσθαι. Ἐν μιᾷ τῶν Αἰόλου προσαγορευομένων νήσων πλῆθός τι φασὶ φύεσθαι φοινίκων· ὅθεν καὶ φοινικώδη καλεῖσθαι. οὐκ ἂν οὖν εἴη τὸ λεγόμενον ὑπὸ Καλλισθένους ἀληθὲς, ὅτι ἀπὸ φοινίκων τῆς Συρίας τῶν τὴν παραλίαν οἰκούντων, τὸ φυτὸν ἔλαβε τὴν προσηγορίαν. ἀλλὰ καὶ αὐτοὺς τοὺς φοίνικας ὑπὸ τῶν Ἑλλήνων φασί τινες προσαγορευθῆναι, διὰ τὸ πρώτους πλέοντας τὴν θάλασσαν, ἣ ἂν ἀποβαίησαν, πάντας ἀποκτείνειν καὶ φονεύειν. καὶ κατὰ γλῶσσαν δὲ ἐπὶ τὴν Περραιβῶν, τὸ αἱμάξαι, φοινίξαι. Τῆς καλουμένης Αἰνιακῆς χώρας περὶ τὴν ὀνομαζομένην Ὑπάτην λέγεται παλαιά τις στήλη εὑρεθῆναι, ἣν οἱ Αἰνιᾶνες τίνος ἦν εἰδέναι βουλόμενοι, ἔχουσαν ἐπιγραφὴν ἀρχαίοις γράμμασιν, ἀπέστειλαν εἰς Ἀθήνας τινὰς κομίζοντας αὐτήν. πορευομένων δὲ διὰ τῆς Βοιωτίας, καί τισι τῶν ξένων ὑπὲρ τῆς ἀποδημίας ἀνακοινουμένων, λέγεται αὐτοὺς εἰσαχθῆναι εἰς τὸ καλούμενον Ἰσμήνιον ἐν Θήβαις. ἐκεῖθεν μὲν γὰρ μάλιστα ἂν εὑρεθῆναι τὴν τῶν γραμμάτων ἐπιγραφὴν· λέγοντες εἶναί τινα ἀναθήματα ὁμοίους ἔχοντα τοὺς ῥυθμοὺς τῶν γραμμάτων ἀρχαῖα. ὅθεν αὐτούς φασιν ἀπὸ τῶν γνωριζομένων, τὴν εὕρεσιν ποιησαμένους τῶν ἐπιζητουμένων, ἀναγράψαι τούσδε τοὺς στίχους, Ἡρακλέης τεμένει τι Κυθήρᾳ Φερσεφαάσσῃ, τηδορουῆνας ἀγέλην ἐλάων, ἠδ' Ἐρύθειαν ἄγων. Τὰς δὴ ἐδάμασσε πόθῳ Πασιφάεσσα θεά. Τῇδε δέ μοι τέκνῳ τῷδ' Ἐρύθοντι δάμαρτι Νυμφογενὴς Ἐρύθη. δὴ τόδ' ἔδωκα τόδοι Μναμόσυνον φιλίας, φηγῷ ὑπὸ σκιερᾷ. τούτῳ δὲ ἐπιγράμματι ἐπιχώρησε καὶ ὁ τόπος ἐκεῖνος

Ἐρυθος καλούμενος, καὶ ὅτι ἐκεῖθεν τὰς βοῦς καὶ οὐκ ἐξ Ἐρυ-
θείας ἤγαγεν. οὐδὲ γὰρ ἐν τοῖς κατὰ Λιβύην καὶ Ἰβηρίαν τόποις
οὐδαμοῦ τὸ ὄνομα λέγεσθαί φασι τῆς Ἐρυθείας. Τῆς δὲ
Λιβύης ἐν Ἰτύκῃ καλουμένῃ (ἣ κεῖται μὲν, ὡς λέγουσιν, ἐν
τῷ κόλπῳ τῷ μεταξὺ Ἑρμαίας καὶ τῆς ἵππου ἄκρας, ἐπέκει-
να δὲ Καρχηδόνος σταδίοις διακοσίοις· ἣ καὶ πρότερον κτι-
σθῆναι λέγεται αὐτῆς τῆς Καρχηδόνος ἔτεσι διακοσίοις ὀ-
γδοήκοντα ἑπτὰ, ὡς ἀναγέγραπται ἐν ταῖς φοινικικαῖς ἱστορί-
αις) γίνεσθαί φασιν ἅλας ὀρυκτοὺς, ἐπὶ τρεῖς ὀργυιὰς τὸ βά-
θος, τῇ ὄψει λευκοὺς καὶ οὐ στερεοὺς, ἀλλ' ὁμοίους τῷ γλισχρο-
τάτῳ γύψῳ· καὶ ὅταν ἀνενεχθῶσιν εἰς τὸν ἥλιον, ἀποστερεοῦσθαι,
καὶ γίνεσθαι ὁμοίους τῷ παρίῳ λίθῳ. γλύφεσθαι δὲ ἐξ αὐτῶν
λέγουσι ζώδια καὶ ἄλλα σκεύη. Τοὺς πρώτους τῶν Φοινί-
κων ἐπὶ Ταρτησσὸν πλεύσαντας, λέγεται τοσοῦτον ἄργυρον
ἀντιφορτίσασθαι, ἔλαιον καὶ ἄλλον ναυτικὸν ῥῶπον εἰσαγαγόν-
τας, ὥστε μηκέτι ἔχειν δέχεσθαι μήτε ἐπιδέξασθαι τὸν ἄργυ-
ρον, ἀλλ' ἀναγκασθῆναι ἀποπλέοντας ἐκ τῶν τόπων, τά τε ἄλ-
λα πάντα ἀργυρᾶ οἷς ἐχρῶντο, κατασκευάσασθαι, καὶ δὴ καὶ
τὰς ἀγκύρας πάσας. Λέγουσι τοὺς Φοίνικας τοὺς κατοικοῦν-
τας τὰ Γάδειρα καλούμενα, ἔξω πλέοντας Ἡρακλείων στη-
λῶν ἀπηλιώτῃ ἀνέμῳ ἡμέρας τέτταρας, παραγίνεσθαι εἴς
τινας τόπους ἐρήμους, θρύου καὶ φύκους πλήρεις. οὓς, ὅταν μὲν
ἄμπωτι, ᾖ, μὴ βαπτίζεσθαι· ὅταν δὲ πλημμύρα, κατακλύζε-
σθαι· ἐφ' ὧν εὑρίσκεσθαι ὑπερβάλλον θύννων πλῆθος, καὶ τοῖς με-
γέθεσι καὶ τοῖς πάχεσιν ἄπιστον, ὅταν ἐποκείλωσιν· οὓς ταριχεύ-
οντες καὶ συνθέντες εἰς ἀγγεῖα, διακομίζουσιν εἰς Καρχηδόνα.
ὧν Καρχηδόνιοι μόνον οὐ ποιοῦνται τὴν ἐξαγωγὴν, ἀλλὰ διὰ τὴν
ἀρετὴν ἣν ἔχουσι κατὰ τὴν βρῶσιν, αὐτοὶ καταναλίσκουσιν.
Ἐν τῇ Πηδασίᾳ τῆς Καρίας θυσία τῷ Διῒ συντελεῖται, ἐν ᾗ
πέμπουσιν αἶγά τινα, περὶ ἣν θαυμαστόν τι φασὶ γίνεσθαι. βα-

ἀπέχουσα γὰρ ἐκ Πηδάσων σταδίους ἑβδομήκοντα δι' ὄχλου πολλοῦ τοῦ θεωροῦντος, οὔτε διαταράττεται κατὰ τὴν πορείαν, οὔτ' ἐκτρέπεται τῆς ὁδοῦ, δεδεμένη δὲ σχοινίῳ, προπορεύεται τοῦ τὴν ἱερωσύνην ἔχοντος. καὶ τὰ κέρατα αὐτῆς χωρεῖν τέσσαρας χόας, ἐνίων δὲ καὶ πλεῖον. θαυμαστὸν δ' ἐστὶ καὶ τὸ δύο κόρακας εἶναι διὰ τέλους περὶ τὸ τοῦ Διὸς ἱερὸν, ἄλλον δὲ μηδένα πέτασθαι τόπον, καὶ τὸν ἕτερον αὐτῶν ἔχειν τὸ πρόσθεν τοῦ τραχήλου λευκόν.! Ἐν Ἰλλυριοῖς δὲ τοῖς Ἀρδιαίοις καλουμένοις, παρὰ τὰ μεθόρια τῶν Αὐταριατῶν, κἀκεῖνοί φασιν ὄρος εἶναι μέγα· τούτου δὲ πλησίον ἄγκος, ὅθεν ὕδωρ ἀναπηδᾷν, οὐ πᾶσαν ὥραν, ἀλλὰ τοῦ ἦρος, πολὺ τῷ πλήθει. ὃ λαμβάνοντες, τὰς μὲν ἡμέρας ἐν τῷ στεγνῷ φυλάττουσι, τὰς δὲ νύκτας εἰς τὴν αἰθρίαν τιθέασι. καὶ πέντε ἢ ἓξ ἡμέρας τοῦτο ποιησάντων αὐτῶν, πήγνυται τὸ ὕδωρ, καὶ γίνεται κάλλιστον ἅλας· οὗ ἕνεκεν τῶν βοσκημάτων μάλιστα διατηροῦσιν. οὐ γὰρ εἰσάγονται πρὸς αὐτοὺς ἅλες, διὰ τὸ κατοικεῖν πόρρω αὐτοὺς θαλάσσης, καὶ εἶναι αὐτοὺς ἀμίκτους. πρὸς οὖν τὰ βοσκήματα πλείστην αὐτοῦ χρείαν ἔχουσιν. ἁλίζουσι γὰρ αὐτὰ δὶς τοῦ ἐνιαυτοῦ. ἐὰν δὲ μὴ ποιήσωσι τοῦτο, συμβαίνει αὐτοῖς ἀπόλλυσθαι τὰ πλεῖστα τῶν βοσκημάτων. Ἐν Ἄργει δέ φασι γίνεσθαι ἀκρίδος τινὸς γένος, ὃ καλεῖται σκορπιομάχον. ὅταν γὰρ ἴδῃ τάχιστα σκορπίον, ἀνθίσταται αὐτῷ· ὡσαύτως δὲ καὶ ὁ σκορπίος ἐκείνῃ· καὶ κύκλῳ περιϊοῦσα τρύζει περὶ αὐτόν. τὸν δὲ κέντρον ἐπαίροντα ἀντιπελάζειν ἐν τῷ αὐτῷ τόπῳ, εἶτα κατὰ μικρὸν ἀνιέναι τὸ κέντρον, καὶ τέλος ὅλον ἐκλείνεσθαι, καὶ τῆς ἀκρίδος κύκλῳ τρεχούσης. τελευταῖα δὲ προσελθοῦσα, κατεσθίει αὐτόν. ἀγαθὸν δέ φασιν εἶναι πρὸς τὰς πληγὰς τοῦ σκορπίου τὸ ἐπιφαγεῖν αὐτήν. Τοὺς ἐν Νάξῳ σφῆκας φασιν, ὅταν φάγωσι τοῦ ἔχεως, (προσφιλὴς δ' αὐτοῖς ἡ σὰρξ, ὡς ἔοικεν, ἐστίν) ἐπειδάν τινα κεντήσωσι, περιωδύνους οὕτως ποιεῖν, ὥστε χαλεπωτέραν φαίνεσθαι τῆς πληγῆς τῶν ἐχέων. Φασὶ τὸ Σκυθικὸν

φάρμακον, ᾧ ἀποβάπτουσι τοὺς οἰστούς, συντίθεσθαι ἐξ ἐχίδνης. τηροῦσι δέ, ὡς ἔοικεν, οἱ Σκύθαι τὰς ἤδη ζωοτοκούσας, καὶ λαβόντες αὐτάς, τήκουσιν ἡμέρας τινάς. ὅταν δὲ ἱκανῶς αὐτοῖς δοκῇ σεσῆφθαι, τὸ τοῦ ἀνθρώπου αἷμα εἰς χυτρίδιον ἐγχέοντες, εἰς τὰς κοπρίας κατορύττουσι πωμάσαντες. ὅταν δὲ καὶ τοῦτο σαπῇ, τὸ ὑφιστάμενον ἐπάνω τοῦ αἵματος, ὃ δή ἐστιν ὑδατῶδες, μιγνύουσι τῷ τῆς ἐχίδνης ἰχῶρι, καὶ οὕτω ποιοῦσι θανάσιμον. Ἐν Κουρίῳ τῆς Κύπρου ὄφεων τι γένος εἶναί φασιν, ὃ τὴν δύναμιν ὁμοίαν ἔχει τῇ ἐν Αἰγύπτῳ ἀσπίδι, πλὴν ὅτι τοῦ χειμῶνος ἐὰν δάκῃ, οὐδὲν ἐργάζεται, εἴτε διά τινα αἰτίαν, εἴτε διότι τὸ ζῷον δυσκίνητον γίνεται ὑπὸ τοῦ ψύχους ἀποπηγνύμενον, καὶ παντελῶς ἀδύνατον, ἐὰν μὴ θερμανθῇ. Ἐν Κέῳ φασὶν εἶναί τι γένος ἀχέρδου, ὑφ' ἧς ἐάν τις πληγῇ τῇ ἀκάνθῃ, ἀποθνήσκει. Ἐν Μυσίᾳ φασὶν ἄρκτων τι γένος εἶναι λευκόν, αἳ ὅταν κυνηγῶνται, ἀφιᾶσι τοιαύτην πνοήν, ὥστε τῶν κυνῶν τὰς σάρκας σήπειν· ὡσαύτως δὲ καὶ τῶν λοιπῶν θηρίων ἀβρώτους ποιεῖν. ἐὰν δέ τις καὶ βιάσηται καὶ ἐγγίσῃ, ἀφιᾶσιν ἐκ τοῦ στόματος φλέγμα πάμπολύ τι, ὡς ἔοικεν, ὃ προσφυσᾷ πρὸς τὰ πρόσωπα τῶν κυνῶν, ὡσαύτως καὶ τῶν ἀνθρώπων, ὥστε καὶ ἀποπνίγειν καὶ ἀποτυφλοῦν. Ἐν δὲ τῇ Ἀραβίᾳ ὑαινῶν τι γένος φασὶν εἶναι, ὃ ἐπειδὰν προΐδῃ τι θηρίον, ἢ ἀνθρώπου ἐπιβῇ ἐπὶ τὴν σκιάν, ἀφωνίαν ἐργάζεται καὶ πῆξιν τοιαύτην, ὥστε μὴ δύνασθαι κινεῖν τὸ σῶμα. τοῦτο δὲ ποιεῖν καὶ ἐπὶ τῶν κυνῶν. Κατὰ δὲ Συρίαν εἶναί φασί τι ζῷον ὃ καλεῖται λεοντοφόνον. ἀποθνήσκει γὰρ ὁ λέων, ὡς ἔοικεν, ὅταν αὐτοῦ φάγῃ. ἑκὼν μὲν οὖν τοῦτο οὐ ποιεῖ, ἀλλὰ φεύγει τὸ ζῷον· ὅταν δὲ συλλαβόντες αὐτὸ οἱ κυνηγέται, καὶ ὀπτήσαντες ὥσπερ ἄλφιτα λευκὰ περιπάσωσιν ἄλλῳ ζῴῳ, τὸ γευσάμενον ἀπόλλυσθαί φασι παραχρῆμα. κακοῖ δὲ προσουροῦν τὸν λέοντα τοῦτο τὸ ζῷον. Λέγεται καὶ τοὺς γῦπας ὑπὸ τῆς τῶν μύρων ὀσμῆς ἀποθνήσκειν, ἐάν τις αὐτοὺς χρίσῃ

ἢ διῶ τι μεμωλυσμένον φαγεῖν. ὡσαύτως δὲ καὶ τοὺς κανθάρους ὑπὸ τῆς τῶν ῥόδων ὀσμῆς. Καὶ ἐν Σικελίᾳ δέ φασι καὶ ἐν Ἰταλίᾳ τοὺς γαλεώτας θανάσιμον ἔχειν τὸ δῆγμα, καὶ οὐχ ὥσπερ τὸ παρ' ἡμῖν, ἀσθενὲς καὶ μαλακόν. εἶναι δὲ καὶ μυῶν γένος ἐφιπτάμενον, ὃ ὅταν δάκῃ, ἀποθνήσκειν ποιεῖ. Εν δὲ τῇ Μεσοποταμίᾳ τῆς Συρίας φασὶ καὶ ἐν Ἰσχύνῃ ὀφίδιά τινα γίγνεσθαι, ἃ τοὺς ἐγχωρείους οὐ δάκνει, τοὺς ξένους δὲ καὶ ἀδικεῖ σφόδρα. Περὶ δὲ τὸν Εὐφράτην καὶ τελείως φασὶ τοῦτο γίγνεσθαι. πολλοὺς γὰρ φαίνεσθαι περὶ τὰ χείλη τοῦ ποταμοῦ, καὶ διανέοντας ἐφ' ἑκάτερα· ὥστε τῆς δείλης ἐνταῦθα θεωρουμένους, ἅμα τῇ ἡμέρᾳ ἐπὶ θατέρου μέρους φαίνεσθαι, καὶ τοὺς ἀναπαυομένους τῶν μὲν Σύρων, μὴ δάκνειν, τῶν δὲ Ἑλλήνων μὴ ἀπέχεσθαι. Εν Θεσσαλίᾳ φασὶ τὸν ἱερὸν καλούμενον ὄφιν πάντας ἀπολλύειν, οὐ μόνον ἐὰν δάκῃ, ἀλλὰ καὶ ἐὰν θίγῃ. διὸ καὶ ὅταν φανῇ, καὶ τὴν φωνὴν ἀκούσωσι (φαίνεται δὲ σπανίως) φεύγουσι καὶ οἱ ὄφεις καὶ οἱ ἔχεις, καὶ τἄλλα πάντα θηρία. τῷ δὲ μεγέθει οὐκ ἔστι μέγας, ἀλλὰ μέτριος. ἐν Τήνῳ δέ ποτε φασὶν αὐτῇ τῇ πόλει κατὰ Θετταλίαν ἀναιρεθῆναι ὑπὸ γυναικός, γενέσθαι δὲ τὸν θάνατον τοιόνδε· γυναῖκα κύκλον γράψασαν, καὶ τὰ φάρμακα θεῖσαν, εἰσβῆναι εἰς τὸν κύκλον, αὐτήν καὶ τὸν υἱόν, εἶτα μιμεῖσθαι τὴν φωνὴν τοῦ θηρίου· τὸ δὲ ἀντᾴδειν καὶ προσιέναι. ᾄδοντος δὲ καταδαρθεῖν τὴν γυναῖκα, καὶ ἐγγυτέρω προσιόντος μᾶλλον, ὥστε μὴ δύνασθαι κρατεῖν τοῦ ὕπνου. τὸν δ' υἱὸν παρακαθήμενον ἐγείρειν τύπτοντα, κελευούσης ἐκείνης, καὶ λέγειν ὅτι ἐὰν μὲν καθυπνώσῃ, ἀπολεῖται καὶ αὐτὴ καὶ ἐκεῖνος· ἐὰν δὲ βιάσηται καὶ προσαγάγῃ τὸ θηρίον, σωθήσονται. ὡς δὲ προσῆλθεν ὁ ὄφις εἰς τὸν κύκλον, λύσιν εὐθὺς γενέσθαι αὐτοῦ.

Ἰστέον ὅτι πολλὰ τῶν παλαιῶν ἀντιγράφων εὑρίσκεται ἐν οἷς οὐκ ἐκείνη ἐστὶν ἡ ἀρχὴ τοῦ περὶ τῶν θαυμασίων ἀκουσμάτων ἣν τεθείκαμεν, ἀλλ' αὕτη.

Λέγεται περὶ τὰ Τύανα ὕδωρ εἶναι ὁρκίου Διὸς * αὐτὸ ἀσβαμαῖον, οὗ ἡ πηγὴ ἀναδίδοται πάνυ ψυχρά. παφλάζει δὲ ὥσπερ οἱ λέβητες. τοῦτο τοῖς εὐόρκοις μὲν ἡδύ τε καὶ ἵλεων, ἐπιόρκοις δὲ παραχρῆμα ἡ δίκη. ἀποσκήπτει γὰρ καὶ εἰς ὀφθαλμοὺς καὶ εἰς χεῖρας καὶ εἰς πόδας. ἁλίσκονταί τε ὑδέροις καὶ φθόαις καὶ οὐδὲ προαπελθεῖν δυνατόν, ἀλλ' αὐτόθι ἔχονται, καὶ ὀλοφύρονται πρὸς τῷ ὕδατι, ὁμολογοῦντες ἃ ἐπιώρκησαν. Ἀθήνησί φασι τὸν ἱερὸν τῆς ἐλαίας θαλλὸν ἐν ἡμέρᾳ μιᾷ βλαστῆσαι καὶ πλείονα γενέσθαι, ταχὺ δὲ αὖ πάλιν συστέλλεσθαι. Τῶν ἐν Αἴτνῃ κρατήρων ἀναρραγέντων καὶ ἀνὰ τὴν γῆν φερομένων ἔνθα καὶ ἔνθα, χειμάρρου δίκην, τὸ τῶν εὐσεβῶν γένος ἐτίμησε τὸ δαιμόνιον. περικαταληφθέντων γὰρ ὑπὸ τοῦ ῥεύματος, διὰ τὸ βαστάζειν γέροντας ἐπὶ τῶν ὤμων γονεῖς καὶ σώζειν, πλησίον αὐτῶν γενόμενον τὸ τοῦ πυρὸς ῥεῦμα ἐξεσχίσθη, παρέτρεψέ τε τοῦ φλογμοῦ τὸ μὲν ἔνθα, τὸ δὲ ἔνθα· καὶ ἐτήρησεν ἀβλαβεῖς ἅμα τοῖς γονεῦσι τοὺς νεανίσκους. Λέγεται τὸν ἀγαλματοποιὸν Φειδίαν κατασκευάζοντα τὴν ἐν ἀκροπόλει Ἀθηνᾶν, ἐν μεσότητι ταύτης τῆς ἀσπίδος τὸ ἑαυτοῦ πρόσωπον ἐντυπώσασθαι, καὶ συνδῆσαι τῷ ἀγάλματι διά τινος ἀφανοῦς δημιουργίας· ὥστε ἐξ ἀνάγκης, εἴ τις βούλοιτο αὐτὸ περιαιρεῖν, τὸ σύμπαν ἄγαλμα λύειν τε καὶ συγχεῖν. Φασὶν ὡς ἀνδριὰς ὁ τοῦ Βίτυος ἐν Ἄργει ἀπέκτεινε τοῦ θανάτου τῷ Βίτυι θεωροῦντι ἐμπεσών. ἔοικεν οὖν οὐκ εἰκῆ τὰ τοιαῦτα γίνεσθαι. Φασὶ τοὺς κύνας μόνον διώκειν τὰ θηρία πρὸς τὰς κορυφὰς τῶν Μελάνων καλουμένων ὀρῶν, ἀλλ' ἀναστρέφειν, ὅταν ἄχρι τούτων διώκωσιν. Ἐν τῷ Φάσιδι ποταμῷ γίνεσθαι

ῥάβδον ὀνομαζομένην Λευκόφυλλον, ἣν οἱ ζηλότυποι τῶν ἀνδρῶν δρεπόμενοι, ῥίπτουσι περὶ τὸν παρθένιον θάλαμον, καὶ ἀνόθευτον τηροῦσι τὸν γάμον. Ἐν δὲ τῷ Τίγριδι γεννᾶσθαί φασι λίθον Μωδῶν κεκλημένον βαρβαρικῶς, τὴν χρόα πάνυ λευκόν, ὃν ἐὰν κατέχῃ τις, οὐδὲν ὑπὸ θηρίων ἀδικεῖται. Ἐν δὲ τῷ Σκαμάνδρῳ γίνεσθαί φασι βοτάνην Σίστρον καλουμένην, παραπλησίαν ἐρεβίνθῳ, κόκκους δὲ ἔχειν σειομένους· ὅθεν τὴν προσηγορίαν ἔλαβε· ταύτην τοὺς κατέχοντας, μήτε δαιμόνιον, μήτε φαντασίαν ἣν ποιασοῦν φοβεῖσθαι. Περὶ Λιβύην ἄμπελός ἐστιν ἣν καλοῦσι μαινομένην τινές, ἣ τῶν καρπῶν τοὺς μὲν πεπαίνει, τοὺς δὲ ὀμφακώδεις ἔχει, τοὺς δὲ ἀνθοῦντας καὶ βραχύν τινα χρόνον. Περὶ τὸ Σίπυλον ὄρος γίνεσθαί φασι λίθον παρόμοιον κυλίνδρῳ, ὃν οἱ εὐσεβεῖς υἱοὶ ὅταν εὕρωσιν, ἐν τῷ τεμένει τῆς μητρὸς τῶν θεῶν τιθέασι, καὶ οὐδέποτε χάριν ἀσεβείας ἁμαρτάνουσιν, ἀλλ' ἀεί εἰσι φιλοπάτορες. Ἐν ὄρει τῷ Ηψίτῃ γίνεσθαι βοτάνην καλουμένην Χαρισίαν, ἣν γυναῖκες ἔρωτος ἀρχομένου τοῖς τραχήλοις περιάπτουσι, καὶ ὑπὸ τῶν ἀνδρῶν συμπαθέστερον ἐρῶνται. Αἱ ἐν Κρήτῃ αἶγες ὅταν τοξευθῶσι ζητοῦσι τὸ δίκταμον τὸ ἐκεῖ φυόμενον. ὅταν γὰρ φάγωσιν, εὐθὺς ἐκβάλλουσι τὰ τοξεύματα. Αἱ ἐν Κεφαλληνίᾳ αἶγες οὐ πίνουσιν, ὡς ἔοικεν, ὥσπερ καὶ τἄλλα τετράποδα, καθ' ἑκάστην ἡμέραν· ἀλλὰ πρὸς τὸ πνεῦμα ἀντία τὰ πρόσωπα ποιήσασαι, χάσκουσιν εἰσδεχόμεναι τὰ πνεύματα. Φασί τινας ἐν Ἀχαΐᾳ τῶν ἐλάφων, ὅταν ἀποβάλωσι τὰ κέρατα, εἰς τοιούτους τόπους ἔρχεσθαι ἐν οἷς οὐκ ἔστι ῥᾴδιον εὑρεθῆναι. τοῦτο δὲ ποιεῖν διὰ τὸ μὴ ἔχειν ᾧ ἀμυνεῖται, καὶ διὰ τὸ πονεῖν τοὺς τόπους ὅθεν καὶ τὰ κέρατα ἀπέβαλον. πολλαῖς δὲ κισσὸν ἐπιπεφυκότα ἐν τῷ τῶν κεράτων τόπῳ ὁρᾶσθαι.

Ὄθρυς ὄρος ἐστὶ Θετταλίας, ὃ φέρει ὄφεις τοὺς λεγομένους σῆπας, οἳ οὐκ ἔχουσι μίαν χροιάν, ἀλλ᾽ ἀεὶ ὁμοιοῦνται τῷ χώρῳ ἐν ᾧ οἰκοῦσι. τινὲς δὲ αὐτῶν ὅμοιον ἔχουσι τὸ χρῶμα τοῖς κόχλοις τῆς γῆς. ἄλλοις δὲ χλοάζουσά ἐστιν ἡ φολίς. ὅσοι δὲ αὐτῶν ἐν ψαμάθοις διατελοῦσι, ταύταις ἐξομοιοῦνται κατὰ τὸ χρῶμα. δάκνοντες δὲ, ἐμποιοῦσι δίψος. ἔστι δὲ αὐτῶν τὸ δῆγμα, οὐ τραχὺ καὶ ἔμπυρον, ἀλλὰ κακόηθες. Τοῦ θηριακοῦ ἔχεως τῇ ἐχίδνῃ συγγινομένου, ἡ ἔχιδνα ἐν τῇ συνουσίᾳ τὴν κεφαλὴν ἀποκόπτει. διὰ τοῦτο καὶ τὰ τέκνα ὥσπερ τὸν θάνατον τοῦ πατρὸς μετερχόμενα, τὴν γαστέρα τῆς μητρὸς διαρρήγνυσιν. Ἐν τῷ Νείλῳ ποταμῷ γίνεσθαι λίθον φασὶ κυάμῳ παρόμοιον, ὃν ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσι. συντελεῖ δὲ καὶ τοῖς δαίμονί τινι γινομένοις κατόχοις. ἅμα γὰρ τῷ προστεθῆναι ταῖς ῥισὶν, ἀπέρχεται τὸ δαιμόνιον. Ἐν δὲ τῷ Μαιάνδρῳ ποταμῷ τῆς Ἀσίας λίθον φασὶν ἄφρονα καλούμενον κατ᾽ ἀντίφρασιν, ὃν ἐάν τις εἰς τινος ἐμβάλῃ κόλπον, ἐμμανὴς γίνεται καὶ φονεύει τινὰ τῶν συγγενῶν. Ῥῆνος καὶ Ἴστρος οἱ ποταμοὶ ὑπ᾽ ἄρκτῳ ῥέουσιν, ὁ μὲν Γερμανοὺς, ὁ δὲ Παίονας παραμείβων· καὶ θέρους μὲν ναυσίπορον ἔχουσι τὸ ῥεῖθρον, τοῦ δὲ χειμῶνος, παγέντες ὑπὸ κρύους, ἐν πεδίου σχήματι καθιππεύονται.

Περὶ τὴν Θουρίων πόλιν δύο ποταμούς φασιν εἶναι Σύβαριν καὶ Κρᾶθιν· ὁ μὲν οὖν Σύβαρις, τοὺς πίνοντας ἀπ᾽ αὐτοῦ, πτυρτικοὺς εἶναι ποιεῖ, ὁ δὲ Κρᾶθις τοὺς ἀνθρώπους ξανθότριχας, λουομένους. Ἐν δὲ Εὐβοίᾳ δύο ποταμούς εἶναι, ὧν ἀφ᾽ οὗ μὲν τὰ πίνοντα πρόβατα, λευκὰ γίνονται. ὃς ὀνομάζεται Κέρβης· ὁ δὲ, Νηλεύς, ὃς μέλανα ποιεῖ. Παρὰ Λυκάρμῳ ποταμῷ γίνεται βοτάνη λόγχῃ παρόμοιον, συντελοῦσα πρὸς ἀμβλυωπίαν. Τὴν ἐν Συρακούσαις τῆς Σικελίας πηγὴν Ἀρέθουσαν, διὰ πενταετηρίδος κινεῖσθαι λέγουσιν. Ἐν ὄρει Βερεκυνθίῳ γίνεσθαι λίθον καλούμενον μάχαιραν, ὃν

ἐὰν δ' εὕρῃ τις, τῶν μυστηρίων τῆς Ἑκάτης ἐπιτελουμένων, ἐμμανὴς γίνεται, ὡς Εὔδοξός φησιν. Ἐν ὄρει δὲ Τμώλῳ γίνεσθαι λίθον παρόμοιον κισσήρει, ὃς τετράκις τῆς ἡμέρας ἀλλάσσει τὴν χρόαν· βλέπεσθαι δὲ ὑπὸ παρθένων τῶν μὴ τῷ χρόνῳ φρονήσεως μετεχουσῶν. Ἐν Ἀρτέμιδι Ὀρθωσίας βωμῷ ταῦρον ἵστασθαι χρύσεον, ὃς κυνηγῶν εἰσελθόντων φωνὴν ἐπαφίησιν. Ἐν Αἰτωλοῖς φασὶν ὁρᾶν τοὺς ἀσπάλακας ἀμυδρῶς, καὶ οὐδὲ σιτεῖσθαι γῆν, ἀλλ' ἀκρίδας. Τοὺς ἱέρακας φασὶ κύειν ἔτη δύο, οἱ δὲ, μῆνας ὀκτωκαίδεκα. ἐν δὲ τῇ ἐκτέξει διεστηκεῖν. Τημάρατον Τιμαίου τοῦ Λοκροῦ ἀκουστὴν νοσήσαντα, ἄφωνον φασὶν ἐπὶ δέκα γενέσθαι ἡμέρας· ἐν δὲ τῇ ἑνδεκάτῃ ἀνανήψας βραδέως ἐκ τῆς παρακοπῆς, ἔφησεν ἐκεῖνον αὐτῷ ἥδιστα τὸν χρόνον βεβιῶσθαι. Ἐν Τήλῳ τῇ νήσῳ φασὶν εἶναι φιάλιον σύγκριμα ἔχον, ἐξ οὗ πῦρ ἀνάπτουσι ῥᾳδίως. Καὶ ἐν Βιθυνίᾳ δὲ τῆς Θρᾴκης ἐν τοῖς μετάλλοις γίνεται ὁ καλούμενος σπῖνος, ἐξ οὗ φασι πῦρ ἀνάπτεσθαι.

ΕΚ ΤΩΝ ΣΩΤΙΩΝΟΣ

τῶν σποράδην περὶ ποταμῶν καὶ κρηνῶν καὶ λιμνῶν παραδοξολογουμένων.

ΚΡΗΝΗ ἐν Ποτνίαις περὶ Θήβας, ἐξ ἧς οἱ ἵπποι πίνοντες μαίνονται, ὡς ἱστορεῖ Ἰσίγονος ἐν δευτέρῳ ἀπίστων. Κρήνη ἐν Κλαζομεναῖς, ἀφ' ἧς τὰ θρέμματα πίνοντα, τὴν ἐρέαν χρωματίνην ποιεῖ, ὡς ἱστορεῖ ὁ προειρημένος Ἰσίγονος. Κρήνη ἐν Ἰνδοῖς ἢ τοῖς κο-

κολυμβῶντας ἐπὶ τὴν γῆν ἐκβάλλει ὡς ἀπ' ὀργάνου, ὡς ἱστορεῖ Κτησίας. Ἐν Κρήτῃ ὀχετὸς ὕδατός ἐστιν, ὃν οἱ διαβαίνοντες ὕοντος τοῦ διὸς, ἄβροχοι διαβαίνουσιν ἐφ' ὅσον ἐν τῷ ὀχετῷ εἰσιν. Ἐν Πέρσαις φασὶν Ἀλεξάνδρῳ φανῆναι κρήνην ἐλαίου πληρουμένην αὐτομάτως. Παρὰ Κιλικίαν φασὶν ὕδατος εἶναί τι σύστημα, ἐν ᾧ τὰ πεπνιγμένα τῶν ὀρνέων καὶ τῶν ἀλόγων ζώων ἐμβραχέντα ἀναζῇν. Ἐν τῇ ἐπὶ Συρακουσῶν ὁδῷ κρήνη οὐ μεγάλη ἐστὶν, οὐδ' ὕδωρ πολὺ ἔχουσα· ὄχλου δὲ ἐπελθόντος εἰς τὸν τόπον καὶ ψόφου γινομένου, παρέχει ὕδωρ ἄφθονον, ὥς φησιν Ἀριστοτέλης. Κρήνη ἐν Παλικοῖς ἥτις εἰς ὕψος ἀναρριπτεῖ τὸ ὕδωρ πηχῶν ἕξ, ἔμφασιν ποιοῦσα μέλλειν κατακλύζειν τοὺς ὑποκειμένους τόπους, καθόλου δὲ οὐχ ὑπερεκχεῖται οὐδέν. ἐπὶ ταύτης οἱ ἐπιχώριοι τοὺς ὑπὲρ τῶν μεγίστων ὅρκους ποιοῦνται, ὡς ἱστορεῖ Ἰσίγονος ἐν δευτέρῳ ἀπίστων. Περὶ Σκότουσαν τῆς Θεσσαλίας κρηνίδιόν ἐστι μικρὸν, ὃ τὰ ἕλκη πάντα θεραπεύει καὶ τῶν ἀλόγων ζώων. εἰς ὃ ἐάν τις ξύλον μὴ λίαν συντρίψας ἀλλὰ σχίσας ἐμβάλῃ, ἀποκαθίσταται. οὕτως κολλῶδες ἔχει τὸ ὕδωρ, ὥς φησιν Ἰσίγονος. Ἐν Λουσοῖς τῆς Ἀρκαδίας φησὶν Ἀριστοτέλης κρήνην τινὰ εἶναι, ἐν ᾗ μῦς χερσαίους γίνεσθαι, καὶ τούτους κολυμβᾶν ἐν ἐκείνῃ τὴν δίαιταν ποιουμένους. Φησὶν Ἰσίγονος ἐν Ἀθαμᾶσι κρήνην εἶναι, ἧς τὸ μὲν ὕδωρ ψυχρὸν ὑπάρχειν, τὸ δ' ὑπὲρ αὐτὸ, οὕτω θερμὸν ὑπάρχειν, ὥστ' ἄν τις ὑπὲρ θῇ φρύγανα, παραχρῆμα ἐξάπτεσθαι. Παρὰ Κλειτορίοις ὁ αὐτός φησιν εἶναι κρήνην, ἧς ὅταν τις τοῦ ὕδατος πίῃ, τοῦ οἴνου τὴν ὀσμὴν οὐ φέρει.

Ὁ αὐτός φησιν ἐν Ἰταλίᾳ ἐν τῷ Ῥεατινῷ ἀγρῷ κρήνην εἶναι μύτην ὀνομαζομένην, ὁμοίαν τῇ προειρημένῃ. Ὁμοίως ἐγγὺς Κόσης ἐστὶ κρήνη, εἰς ἣν ἐὰν θῇς κεράμιον οἴνου γέμον, ὥστε ὑπερχεῖν τὸ στόμα, παντὸς ὄξους εἶναι δριμύτερον παραχρῆμα, ὡς ἱστορεῖ ὁ αὐτός. Θεόπομπος ἱστορεῖ

κρήνην ἐν Χρωψὶ τῆς Θρᾴκης, ἐξ ἧς τοὺς λουσαμένους, παραχρῆμα μεταλλάσσειν. Ελλάνικός φησι περὶ Μαγνησίαν τὴν ἐπὶ Σιπύλου, πηγὴν εἶναι ἀφ᾽ ἧς τοὺς πίνοντας κοιλίαν ἀπολιθοῦσθαι. Κτησίας δὲ ἐν Αἰθιοπίᾳ κρήνην ἱστορεῖ τῷ χρώματι κινάβαρει παραπλησίαν· τοὺς δὲ πίνοντας ἀπ᾽ αὐτῆς, παραλλάξειν τὴν διάνοιαν, ὥστε καὶ τὰ κρυφίως πεπραγμένα ὁμολογεῖν. Εν Αραβίᾳ ἐστὶν Ισοδὸς κρήνη, ἧς τῆς κοτύλης οἴνου ἐμβληθείσης κιρνᾶται, καὶ πρὸς τὴν πόσιν εὔκρατος γίνεται, ὥς φησιν Αμώμητος. Αριστοτέλης Αμμωνος κρήνην εἶναι φησὶν ἧς τὸ ὕδωρ μεσημβρίας καὶ μεσονύκτου γίνεσθαι θερμὸν, ὂν φύσει ψυχρότατον. Θεόπομπος ἐν Λυγκηστῷ φησὶ πηγὴν εἶναι, τῇ μὲν γεύσει ὀξίζουσαν, τοὺς δὲ πίνοντας μεθύσκεσθαι, ὡς ἀπὸ οἴνου. Εν Συκαμίναις πόλει λίμνη ἐστὶν ἧς τῷ ὕδατι οἱ λουσάμενοι, ἢ πιόντες ἀπ᾽ αὐτοῦ, μαδῶσι τὰς τρίχας· τῶν δὲ ἀλόγων ζώων αἱ ὁπλαὶ ἀποπίπτουσιν, ὡς ἱστορεῖ Ισίγονος. Ηρακλείδης ὁ Ποντικὸς λίμνην ἐν Σαυρομάταις φησὶν εἶναι περὶ ἣν τὰ πετασθέντα τῶν ὀρνέων, εἰς αὐτὴν πίπτειν. Ηρόδοτος ἐν μακροβίοις αἰθίοψι κρήνην ἱστορεῖ, ἀφ᾽ ἧς τοὺς λουσαμένους λιπαίνεσθαι. Εν Κλειτορίοις δὲ τῆς Αρκαδίας κρήνην φασὶν εἶναι, ἀφ᾽ ἧς τοὺς πίνοντας, μισεῖν τὸν οἶνον· ἐπικεχαράχθαι δὲ ἐπ᾽ αὐτῆς ἐπίγραμμα τοιόνδε,

Αγρότα σὺν ποίμναις τὸ μεσημβρινὸν ἤν σε βαρύνῃ
  Δίψος ἀν᾽ ἐσχατιὰς Κλείτορος ἐρχόμενον,
Τῆς μὲν ἀπὸ κρήνης ἄρυσαι πόμα, καὶ παρὰ νύμφαις
  Υδριάσι στῆσον πᾶν τὸ σὸν αἰπόλιον·
Αλλὰ σὺ μήτ᾽ ἐπὶ λουτρὰ βάλῃς χροΐ, μή σε καὶ αὔρη
  Πημήνῃ, τερπνῆς ἐντὸς ἐόντα μέθης.
Φεῦγε δ᾽ ἐμὴν πηγὴν μισάμπελον, ἔνθα Μελάμπους
  Λουσάμενος λύσσης Προιτίδας ἀργαλέης,

Πάντα καθαρμὸν ἔκοψεν ἀπόκρυφον. ἀ γὰρ ἀπ' ἄργους
    Οὔρεα τρηχείης ἤλυθον Ἀρκαδίης.

Ἀρίστων δὲ ὁ περιπατητικὸς φιλόσοφος ἐν τῇ Κίῳ πηγήν φησιν ὕδατος εἶναι, ἀφ' ἧς τοὺς πίνοντας, ἀναισθήτους γίνεσθαι τὰς ψυχάς. εἶναι δὲ καὶ ἐπὶ ταύτης ἐπίγραμμα τοιόνδε,

Ἡδεῖα ψυχροῖο ποτοῦ λιβάς, ἣν ἀναβλύζει
    Πηγή· ἀλλὰ νόῳ πέτρος, ὁ τῆσδε πιών.

Ἐν δὲ Σούσοις τῆς Περσίδος ὕδωρ εἶναι λέγουσιν ὃ τῶν πιόντων ἐκπίπτειν ποιεῖ παραχρῆμα τοὺς ἐμπροσθίους ὀδόντας. κεχάρακται δὲ καὶ ἐπὶ ταύτης τὸ ἐπίγραμμα τόδε,

Ὕδατα ταῦτα βλέπεις φοβερὰ ξένε, τῶν ἄπο, χερσὶ
    Λουτρὰ μὲν ἀνθρώποις ἀβλαβῆ ἐστιν ἔχειν·
Ἢν δὲ βάλῃς κοίλης ποτὶ νηδύος ἀγλαὸν ὕδωρ,
    Ἄκρα μόνον δολιχοῦ χείλεος ἀψάμενος,
Αὐτῆμαρ πρίστηρες ἐπὶ χθονὶ δαιτὸς ὀδόντες
    Πίπτουσιν, γενύων ὀρφανὰ θέντες ἕδη.

Ἐν δὲ Ἀλιφαίῳ τῆς Ἰταλίας φρεάτιόν ἐστι βαθύ, οὗ τὸ μὲν ὕδωρ βλέπεται, ἡλίκον δὲ ἄν τις χαλάσῃ χοινίον, οὐκ ἐφάπτεται τοῦ ὕδατος, ἀλλ' ὑπό τινος θείου κωλύεται, ὥς φησιν Ἰσίγονος. Ἀουερνός ἐστι λίμνη ἐν Ἰταλίᾳ περὶ Κούμας, εἰς ἣν τὰ ἐκ τῆς περικειμένης ὕλης ἐμπίπτοντα φύλλα ἢ κάρφη, ἀφανῆ γίνεται, βυθιζόμενα παραχρῆμα. Ἀριστοτέλης ἱστορεῖ κατὰ Καρχηδόνα κρήνην εἶναι ἐλαίου προσηνεστέραν· ἂν δὲ μή τις ἁγνὸς προσίῃ, ἐκλείπειν αὐτήν. Περὶ Γέλαν τῆς Σικελίας ἐστὶ λίμνη ἡ Σίλλα καλουμένη, ἐλαχίστη τὸ μέγεθος, ἥτις τοὺς ἐν αὐτῇ λουομένους εἰς τὸ ξηρὸν ἐκρίπτει ὡς ἀπ' ὀργάνου τινός, ὥς φησιν Ἀριστοτέλης. Περὶ τὸν Ἠριδανὸν ποταμόν, ἐστὶ λίμνη κατὰ τὰς Ἠλεκτρίδας νήσους, ὕδωρ ἔχουσα θερμόν, ὀσμὴν δὲ βαρεῖαν, ἀφ' ἧς οὐδὲν ζῶον γεύεται. Τὴν κατὰ Ἄβδηρα λίμνην Κύστρον καλουμένην φασὶ τὸ ξη-

ξου στράτευμα πῖνον ἀναξηρᾶται. Ἱερώνυμος ἱστόρησεν ἐν
τῇ Ναβαταίων χώρᾳ τῶν Ἀράβων εἶναι λίμνην πικρὰν, ἐν ᾗ
οὔτε ἰχθὺς, οὔτε ἄλλο τι τῶν ἐνύδρων ζώων γίνεσθαι, ἀσφάλ-
του δὲ πλίνθους ἐξ αὐτῆς αἱρεῖσθαι ὑπὸ τῶν ἐπιχωρίων.
Γύθερμός φησιν, ἐάν τις σκύφον εἰς τὰς τοῦ Στρυμόνος ποτα-
μοῦ δίνας ἐμβάλῃ, τοῦτον εὑρήσει ἐν τῇ περὶ Ἀπολλωνίαν λίμνῃ.
Φαέθων φησὶ τὸν ἐν Βοσπόρῳ ποταμὸν οὕτως εἶναι ψυχρὸν, ὥστε
μηδὲν τῶν ζώων ὑπομένειν αὐτοῦ τὴν ψυχρότητα. Περὶ
δὲ Ταῤῥακίναν τῆς Ἰταλίας φησὶν Ἰσίγονος λίμνην εἶναι Μο-
κλαίαν καλουμένην, καὶ παρ᾽ αὐτῇ πόλιν ἔρημον· ἧς τοὺς ἐνοι-
κοῦντας στερηθῆναι τῆς πόλεως διὰ τὸ πλῆθος τῶν ὕδρων.
Ἐπὶ τῆς ἐν Ἰταλίᾳ λίμνης καλουμένης Βεκλινάχου, οὔσης τὸ
τὸ περίμετρον σταδίων φ΄, νῆσός ἐστιν οἰκουμένη κατάφυτος
δένδρεσιν ἡμέροις, ἐπινηχομένη καὶ μεταβαίνουσα πρὸς τὰς
τῶν πνευμάτων φορὰς. τὸ δ᾽ αὐτὸ τοῦτο καὶ ἐν ἑτέρᾳ λίμνῃ τῆς
Ἰταλίας Κουτυλίᾳ καλουμένῃ γίνεται. Ἐστὶ δὲ καὶ Λακο-
σούα ἡ Ἀμμωνος καλουμένη λίμνη οὐ μεγάλη ἐν Ἰταλίᾳ, ὁ-
μοίως ἔχουσα νησία πλείονα πάσῃ πνοῇ μετακινούμενα.
Η κατὰ Σάρδεις λίμνη, καλουμένη δὲ Κολοὴ, πλῆθος μὲν ὄψου
πάμπολυ τρέφει, ἔχει δὲ καὶ αὐτὴ νήσους οἰκουμένας πρὸς
ἀπάτην. ἐπινήχονται γὰρ, καὶ τῇ τῶν ἀνέμων πνοῇ συμμετοι-
κοῦσι. πλείω δὲ τῶν ἐνύδρων τοσοῦτο τρέφει πλῆθος, ὥστε
καὶ ταριχεύεσθαι. Τὸ δὲ κατὰ τὴν Σουσιανὴν ὕδωρ, φα-
σὶν εἶναι Μηδείας, καὶ πεφαρμάχθαι καυστικοῖς φαρμάκοις.
ὃ ῥεῖ μὲν ἐκ πηγῆς τινος, φυλάσσεται δὲ ὑπὸ τῶν ἐπιχω-
ρίων. ἔχει δὲ δύναμιν τοιαύτην. τὰ γὰρ χρισθέντα ἢ βραχέν-
τα ἐξ αὐτοῦ ζῶα ἢ σκεύη, δειχθέντος μακρόθεν πυρὸς, πρὸς
αὐτὰ ἐπισπᾶται, καὶ παραχρῆμα καίεται· καλεῖται δὲ
νάφθα. ἐξενεχθέντα μέντοι τῆς χώρας, ἀπόλλυσι τὴν δύ-

